eul_wid: vko-aa

*Ἀρσένιος ὁ Παροιμιογράφος* · Arsenius the Paroemiographer

# Sayings

## *Γνῶμαι*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Γραμματική* Grammar
**Format:** *Πεζός* Prose

1 4a Ἃ ἄν σοι λογιζομένῳ βέλτιστα, ταῦτα τοῖς ἔργοις ἐπιτέλει ⋮ Ἰσοκράτους. Ἄγουσιν ἑορτὴν οἱ κλέπται : χαριεστάτη ἡ σύνταξις καὶ ἱκανῶς πεπαιδευμένη κατὰ κωμῳδικὴν χάριν.

1 18a λέγεται δὲ ἐπὶ τῶν ἀδεῶς κλεπτόντων. Ἀγύρτης εἶ : ἐπὶ τῶν ἔργον ποιουμένων περινοστεῖν τὰς ἀγυιὰς καὶ φλυαρίας συνείρειν· μητραγύρται δὲ οἱ τῇ μητρὶ τῶν θεῶν τῇ Ῥέᾳ ἀνακείμενοι, γοητειῶν καὶ φίλτρων κατασκευασταὶ, οὓς καὶ πάλλους καλοῦσιν, ἀποκόπους ὄντας τῶν γεννητικῶν μορίων, καὶ πρὸς τὰ ἀσχήμονα πάθη ἑτοιμοτάτους. [5]

1 24a Ἄγροικός εἰμι τὴν σκάφην σκάφην λέγω ν . Ἀγροῦ πηγή : ἐπὶ τῶν λιπαρῶς καὶ ἐπιμόνως ᾧτινιδη ἔργῳ προσκαθημένων.

1 25a Ἀγωνιζόμενο ς , ὑπὲρ οὗ ἀδίκως ἔπραξας, δὶς ἀδικήσεις ⋮ Κλειτάρχου. Ἀγνώς τις ἐσ τ ’ ἄνθρωπος, εὐδαίμων ἔσῃ.

1 25b τέθνηκέ τις, μὴ δεινὸν ἔστω τοῦτό σοι. κεκύηκέ τις, μὴ δεινόν. οὐ κεκύηκέ τις· ἠτύχηκέ τις. βήττει τις· οἰμώζει τις· ἡ φύσις φέρει δ’ ἅπαντα ταῦτα· φεῦγε τὰς λύπας ⋮ Φιλήμονος. Ἀγαθοὶ δ ’ ἀριδάκρυες ἄνδρες : ἐπὶ τῶν σφόδρα πρὸς ἔλεον βλεπόντων. [5]

1 27b Ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνο ς . Ἀγέτω θεό ς , οὐ γὰρ ἔχω δίχα τῶνδ’ ἀείδειν ⋮ Καλλιμάχου.

1 27d Ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαῤῥοῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται ⋮ Δημητρίου Φαληρέως. Ἀγαθοὶ τὸ κακὸν ἐφ’ ἑτέρων ἰδεῖν, αὐτοὶ δὲ ὅταν ποιῶμεν, οὐ γιγνώσκομεν ⋮ Σωκράτους.

1 27f Ἀγαθὸν οὐ τὸ μὴ ἀδικεῖν, ἀλλὰ τὸ μὴ ἐθέλειν ⋮ Δημοκρίτου. Ἀγάπα τῶν ὑπαρχόντων ἀγαθῶν μὴ τὴν ὑπερβάλλουσαν κτῆσιν, ἀλλὰ τὴν μετρίαν ἀπόλαυσιν.

1 27h Ἀγαθῆς γυναικὸς ἐστίν, ὦ Νικοστράτη, μὴ κρείττον’ εἶναι τἀνδρός, ἀλλ’ ὑπήκοον. γυνὴ δὲ νικῶς’ ἄνδρα κακόν ἐστι μέγα ⋮ Φιλήμονος. Ἅιδου πρωκτῷ περιπέσῃς : ἤγουν τελευτήσῃς.

1 34a Ἀδικεῖ τοὺς ἀγαθοὺς ὁ φειδόμενος τῶν κακῶν. Ἄδικος δικαστὴς μεμολυσμένη συνείδησις.

1 34c Ἀδικείτω μοι πλούσιος καὶ μὴ πένης· ῥᾷον φέρειν γὰρ κρειττόνων τυραννίδα. Ἁ δὲ μελέτα φύσιος ἀγαθᾶς πλεῦνα δωρεῖται φίλοις ⋮ Ἐπιχάρμου.

1 34e

Ἀδύνατόν ἐστι τἀναντία τινὰ τοῖς ὀρθῶς ἔχουσι πράττοντα ἀγαθοῦ τινος ἀπ’ αὐτῶν ἀπολαῦσαι ⋮ Δίωνος τοῦ Ῥωμαίου. Ἀδαπάνητός ἐστι τῆς εὐποιΐας ὁ πλοῦτος· ἐν τῷ διδόναι γὰρ λαμβάνεται καὶ ἐν τῷ σκορπίζειν συνάγεται.

1 34f Θεσπίδου. Ἀδίκως μὴ κτῶ χρήματα, ἢν βούλῃ πολύν χρόνον μελάθροις ἐμμένειν.

1 34g τὰ δ’ ἀδίκως οἴκους εἰσελθόντ’ οὐκ ἔχει σωτηρίαν ⋮ Εὐριπίδου. Ἁ δὲ χεὶρ τὰν χεῖρα νίζει : Ἐπιχάρμου ἀπόφθεγμα κατὰ φιλαργύρων.

1 38a Ἀεὶ ἐν πάσαις μὲν ταῖς δίκαις ἐξετάζειν χρὴ τὰ βεβιωμένα· μάλιστα δ’ ἐν τοῖς τοιούτων τῶν ἀγώνων, ἐν οἷς ὁ βίος ἐστὶ τὸ ἔγκλημα ⋮ Ὀμβρίμου. Ἀεὶ γὰρ ἄνδρα σκαιὸν, ἰσχυρὸν φύσει, ἧσσον δέδοικα τἀσθενοῦς τε καὶ σοφοῦ ⋮ Εὐριπίδου.

1 38c Ἀεὶ Διὸς κρείσσων νόος αἰγιόχοιο. Ἀεὶ Διὸς κρείσσων νόος ἠέπερ ἀνδρῶν.

1 38e Ἀεὶ νομίζον θ ’ οἱ πένητες τῶν θεῶν, ἐπεὶ τά γ’ ἀρκοῦνθ’ ἱκανὰ τοῖς σώφροσι ⋮ Μενάνδρου. Ἀεὶ τὸ λυποῦν ἀποδίωκε τοῦ βίου· μικρόν τι τοῦ βίου, καὶ στενὸν ζῶμεν χρόνον ⋮ τοῦ αὐτοῦ.

1 38g Ἄελπτον οὐδέν · πάντα δ’ ἐλπίζειν χρεών ⋮ Εὐριπίδου. Ἀεὶ γὰρ ἀπουσία τῶν κρειττόνων τιμᾶται τὰ χείρονα, τὴν ἐκείνων κληρονομοῦντα τάξιν, ἐπιφανέντα δὲ ὑποστέλλεται δευτερείοις ἄθλων ἀρκούμενα ⋮ Φίλωνος.

1 38i Ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει, φθόνον τε κἀπήρειαν καὶ μῖσος πολὺ πράγματά τε πολλὰ κἀνοχλήσεις μυρίας πράξεις τε πολλὰς συλλογάς τε τοῦ βίου. ἔπειτα μετὰ ταῦτ’ εὐθὺς εὑρέθη θανὼν ἄλλοις καταλείψας ἐς τρυφὴν τὴν οὐσίαν. ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω, ἔχειν τε μέτρια κἀμέριμνον ζῆν βίον, καὶ μήτ’ ἔχειν πλοῦτόν με μήτε πράγματα. πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά ⋮ Φιλήτου. Ἀεὶ γὰρ τὰ ἐναντία τῶν ἐναντίων εἰσὶ φθαρτικά· ὡσαύτως καὶ ὅμοια τούτοις.

1 40a Ἀεὶ τοῖς μικροῖς μικρὰ διδοῦσι θεοί: Καλλιμάχου. Ἀετὸς εἰς θήραν : ἐπὶ τῶν ἐπιτηδείως περί τι ἐχόντων.

1 57a Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή ⋮ Φιλήμονος. Ἀθανασία δ’ οὐκ ἔστιν, οὐδ’ ἂν συναγάγῃς τὰ Ταντάλου τάλαντα ἱκανὰ λεγόμενα.

1 57b ἀλλ’ ἀποθανῇ, καὶ ταῦτα καταλείψεις τινί ⋮ Μενάνδρου. Περὶ ἀναλογίας τῶν τεσσάρων στοιχείων.

1 58a Αἰθὴρ τὸ καὶ πῦρ ἀναλογεῖ τῷ θέρει, τὸ δὲ, τῇ ξανθῇ χολῇ. Ἀὴρ ἀναλογεῖ τῷ ἔαρι, τὸ δὲ τῷ αἵματι. Γῆ ἀναλογεῖ τῷ φθινοπώρῳ, τὸ δὲ τῷ φλέγματι. Ὕδωρ ἀναλογεῖ τῷ χειμῶνι, ὁ δὲ τῇ μελαίνῃ χολῇ. Αἰγιστέου πήδημα : ἐπὶ τῶν μεγαλοψύχων.

1 58b Καλλισθένης ἐν δευτέρῳ μεταμορφώσεως ὧδέ πη περὶ τούτου φησίν· ὅτι κατὰ Κελαινὰς πόλιν τῆς Φρυγίας διὰ μῆνιν Ἰδαίου Διὸς χάσμα μεθ’ ὕδατος γενόμενον πολλὰς οἰκίας αὐτάνδρους εἰς τὸν βυθὸν καθείλκυσε· τοῦ δὲ δήμου κινδυνεύοντος Μίδας ὁ βασιλεὺς χρησμὸν ἔλαβε, συνελεύσεσθαι τὴν γῆν, ἐὰν εἰς τὸ βάραθρον βάλῃ τὸ τιμιώτατον ἐν ἀνθρωπίνῳ βίῳ· τῶν δὲ Κελαινιτῶν χρυσόν τε καὶ ἄργυρον καὶ τὸν κόσμον τῶν γυναικῶν εἰς τὸ χάσμα ῥιψάντων καὶ μηδ’ οὕτω τοῦ κακοῦ λήγοντος, Αἰγισταῖος ὁ υἱὸς Μίδα, λογισάμενος μηδὲν εἶναι τιμιώτερον ἐν βίῳ ψυχῆς, ἀναπηδήσας καὶ δοὺς περιπλοκὰς τῷ γεννήσαντι καὶ ἀποταξάμενος τῇ γυναικὶ Τιμοθέᾳ, μεθ’ ὁρμῆς ἔφιππος εἰς τὸν τόπον τοῦ χάσματος ἠνέχθη. Αἱ δεύτεραί πως φροντίδες σοφώτεραι.

1 60a Αἰδοῦς παρὰ πᾶσιν ἄξιος ἔσῃ, ἐὰν πρῶτον ἄρξῃ σαυτὸν αἰσχύνεσθαι ⋮ Μουσωνίου. Αἲ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδώνων ἑξηκονταέτη μοῖρα κίχοι θανάτου ⋮ Μιμνέρμου.

1 60c Αἱ μὲν χελιδόνες εὐδίαν ἡμῖν προσημαίνουσιν, οἱ δὲ ἐκ φιλοσοφίας λόγοι ἀλυπίαν ⋮ Δημώνακτος. Αἰδομένων ἀνδρῶν πλέονες σῶοι, ἠὲ πέφανται.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1 67a Αἰεὶ τὰ πέρυσι βελτίω : ἐπὶ τῶν πρῶτον μὲν εὐδαιμονούντων, ὕστερον δὲ δυστυχούντων. Αἱρήσω τάχα : οἱ πειρώμενοι μετελθεῖν ἔργῳ τινὰς εἰώθασι ταύτην λέγειν.

1 67c Αἱρετώτερον καλὸν θάνατον ἀντὶ τοῦ αἰσχροῦ βίου. Αἰσχύνομαι τὴν φιλότητα γηράσκων : ἐπὶ τῶν διὰ γῆρας διακοσμιῶν.

1 67e Αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι καὶ οὐκὶ ἄνθρωποι τῶν συμφορῶν ⋮ Ἡροδότου. Αἱ ἐπιφανεῖς τύχαι καθάπερ οἱ σφοδροὶ τῶν ἀνέμων μεγάλα ποιοῦσι ναυάγια ⋮ Πλουτάρχου.

1 67g Αἱ ἐκ φίλων εἰς φίλους γενόμεναι λῦπαι δυσθεράπευτοι λίαν τυγχάνουσι καὶ μείζους τῶν ἐχθρῶν ἔχουσι τὰς ἐπηρείας. Αἱ πονηραὶ ἐλπίδες ὥσπερ οἱ κακοὶ ὁδηγοὶ ἐπὶ τὰ ἁμαρτήματα ἄγουσι ⋮ Σωκράτους.

1 82a Αἱ Χάριτες οὐκ ἐν οὐρανῷ : συνυπακούεται τό, κἂν τῇ γῇ. λέγεται ἐπὶ τῶν ἄγαν εὐεργετούντων. τρεῖς δέ εἰσιν αἱ Χάριτες, Ἀγλαΐα, Εὐφροσύνη καὶ Εὐτέρπη. Αἱ μὲν τῆς ἀρετῆς ἐλπίδες ἰδίαι εἰσὶ τῆς ψυχῆς· αἱ δὲ τῆς κακίας νόθοι ⋮ Πλουτάρχου.

1 83b Αἱ πονηραὶ ἐλπίδες, ὥσπερ οἱ κακοὶ ὁδηγοὶ, ἐπὶ τὰ ἁμαρτήματα ἄγουσιν ⋮ Σωκράτους. Αἱ μὲν ποδήρεις ἐσθῆτες τὰ σώματα, αἱ δὲ ὑπέρμετροι περιουσίαι τὰς ψυχὰς ἐμποδίζουσι ⋮ Δημοκρίτου.

1 83d Αἰνῶ · διδάξαι δ’, ὦ τέκνον, σε βούλομαι. ὅταν μὲν ᾖς παῖς, μὴ πλέον παιδὸς φρονεῖν· ἐν παρθένοις δέ, παρθένου τρόπους ἔχειν. ὅταν δ’ ὑπ’ ἀνδρὸς χλαῖναν εὐγενοῦς πέσῃς, τὰ δ’ ἄλλ’ ἀφεῖναι μηχανήματ’ ἀνδράσι ⋮ Εὐριπίδου. Ἀκούετε λεώ ς , Σουσαρίων λέγει τάδε· κακὸν γυναῖκες· ἀλλ’ ὅμως, ὦ δημόται, οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.

1 98a καὶ γὰρ τὸ γῆμαι καὶ τὸ μὴ γῆμαι κακόν ⋮ Σουσαρίωνος. Ἄκουσο ν , ὥς σοι τέρψιν ἐμβάλω φρενί· τὸ μὴ γενέσθαι τοῦ θανεῖν ἴσον λέγω ⋮ Εὐριπίδου.

1 100a Ἀκάνθιος τέττιξ: ἐπὶ τῶν ἀφώνων καὶ ἀμούσων. οὐκ ᾄδουσι γὰρ οἱ ἐκεῖσε τέττιγες. Ὡς καὶ τό, Βάτραχος Σερίφιο ς . Ἄκων δ ’ ἁμαρτὼν οὔτις ἀνθρώπων κακός: Σοφοκλέους.

2 8a Ἀλ λ ’ ἔν γε χέρσῳ τὰς λέοντος ᾔνεσα καὶ τὰς ἐχίνου μᾶλλον οἰζυρὰς τέχνας, ὃς εὖτ’ ἂν ἄλλων θηρίων ὀσμὴν μάθῃ στρόβυλος ἀμφ’ ἄκανθας εἱλίξας δέμας, κεῖται, δάκνειν δὲ καὶ θίγειν ἀμήχανος ⋮ Ἁλιεὺς ὢν , εἶτα τραγῳδοὺς ἐμισθώσω : ἐπὶ τῶν μὴ προσήκοντα ἑαυτοῖς δρώντων, ἀλλ’ ἀνόμοια.

2 37a Ἀλ λ ’ οἱ κακῶς πράσσοντες οὐ κωφοὶ μόνον, ἀλλ’ οὐδ’ ὁρῶντες εἰσορῶσι τἀφανῆ ⋮ Σοφοκλέους. ἐπὶ τῶν ἀφραινόντων. Ἀλ λ ’ οὐ τὸ μέγα εὖ ἐστί , τὸ δὲ εὖ μέγα : Δημοσθένης θεασάμενός τινα δημαγωγὸν ἀφυῆ μέγα βοῶντα, τοῦτ’ ἔφη τἀπόφθεγμα.

2 50a Ἀλόγιστός ἐστι πᾶς ὁ ἐν τοῖς συμβαίνουσι κατὰ τὴν φυσικὴν ἀνάγκην ἀχθόμενος ⋮ Ἰσοκράτους. Ἀλ λ ’ οἶμαι τὸ μέλλον ἅπασιν ἀνθρώποις ἄδηλον καὶ μικροὶ καιροὶ μεγάλων πραγμάτων αἴτιοι γίνονται· διὸ δεῖ μετριάζειν ἐν ταῖς εὐπραξίαις καὶ προορωμένους τὸ μέλλον φαίνεσθαι ⋮ Δημοσθένους.

2 50c Ἀλ λ ’ εἰ χεῖρας ἔχον βόες ἠὲ λέοντες ἢ γράψαι χείρεσσι καὶ ἔργα τελεῖν ἅπερ ἄνδρες, ἵπποι μὲν ἵπποισι, βόες δέ τε βουσὶν ὅμοιοι, καὶ θεῶν ἰδέας ἔγραφον καὶ δώματ’ ἐποίουν τοιαῦθ’ οἷόν περ καὐτοὶ δέμας εἶχον ὅμοιον ⋮ Ὀρφέως. Ἀλλὰ πάντα μὲν ἄνθρωπον ὄντα προσδοκᾶν χρή ⋮ τοῦ Θάλεω.

2 52b Ἀλ λ ’ οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ ⋮ Ὁμήρου. Ἀλ λ ’ ἔσ θ ’ ὁ θάνατος λοῖσθος ἰατρὸς νόσων ⋮ Σοφοκλέους.

2 52d Ἀλ λ ’ ἐὼν φίλος ἁμῖν, λέχος ἄρνυσο νεώτερον. οὐ γὰρ τλάσομ’ ἐγὼ ξυνοκεῖν οὖσα γεραιτέρα ⋮ Σαπφοῦς. Ἀλάθεια θεῶν ὁμόπολις, μόνη θεοῖς συνδιαιτωμένη ⋮ Ὀλυμπιάδος.

2 53a

Ἃ μὴ δεῖ ποιεῖν, μηδὲ ὑπονόει ποιεῖν ⋮ Πυθαγόρου. Ἀμήχανον μακρὰν συνήθειαν ἐν βραχεῖ λῦσαι χρόνῳ ⋮ Μενάνδρου.

2 64a Ἀμαθέστερόν πως εἰπὲ καὶ σαφέστερον λέγε: Ταύρου. Ἄμεινον τῇ ἀληθείᾳ συγχωρήσαντα τὴν δόξαν νικᾶν, ἢ τῇ δόξῃ συγχωρήσαντα πρὸς τῆς ἀληθείας ἡττᾶσθαι.

2 70a Ἄμεινον δικαίως κρίναντα πρὸς τοῦ καταδικασθέντος ἀδίκως μεμφθῆναι, ἢ ἀδίκως κρίναντα παρὰ τῇ φύσει δικαίως ψέγεσθαι ⋮ Μοσχίωνος. Ἀμαθία τε μετὰ σωφροσύνης ὠφελιμώτερον ἢ δεξιότης μετὰ ἀκολασίας ⋮ Θουκυδίδου.

2 70c Ἀμαθίαν ὥς φησιν Ἡράκλειτος καὶ ἄλλως κρύπτειν ἔργον ἐστίν, ἐν οἴνῳ δὲ χαλεπώτερον· καὶ Πλάτων δέ φησιν ἐν οἴνῳ τὰ ἤθη φανερὰ γίνεσθαι ⋮ Πλουτάρχου. Ἀμηχανῶ δ ’ ἔγωγ ε , κοὐκ ἔχω μαθεῖν, εἴτ’ οὖν ἄμεινόν ἐστι γίγνεσθαι τέκνα θνητοῖσιν, εἴτ’ ἄπαιδα καρποῦσθαι βίον.

2 70d ὁρῶ γὰρ οἷς μὲν οὐκ ἔφυσαν, ἀθλίους, ὅσοισι δ’ εἰσίν, οὐδὲν εὐτυχεστέρους. καὶ γὰρ κακοὶ γεγῶτες, ἐχθίστη νόσος· κἂν αὖ γένωνται σώφρονες, κακὸν μέγα· λυποῦσι τὸν φύσαντα, μὴ πάθωσί τι ⋮ Εὐριπίδου. Ἄμεινον ἐν μικροῖς οἰκήμασι μεγάλας οἰκεῖν ψυχὰς, ἢ ἐν μεγάλαις οἰκίαις ταπεινὰ φωλεύειν ἀνδράποδα ⋮ Ἐπικτήτου. [5]

2 70f Ἀμφίμακρος ἐστὶ ποῦς συγκείμενος ἐκ μακρᾶς—καὶ βραχείας καὶ μακρᾶς οἷον ἡ–γεμώ–ν· τούτου ἐνάντιος ὁ ἀμφίβραχυς, συγκείμενος ἐκ βραχείας καὶ μακρᾶς—καὶ βραχείας , οἷον σερη–νός ⋮ Ἀμήχανον δ ’ ἐν εὐπραγίαις φθόνον διαφυγεῖν.

2 79a Ἀναρχίας γὰρ μεῖζον οὐκ ἔστι κακόν ⋮ Σοφοκλέους ἡ γνώμη. Ἀνδρὸς γέροντος μήποτ’ ἐς πηγὴν ὁρᾶν: ἐπὶ τῶν πρὸς ἔνια μὴ χρησίμων.

2 84b Ἀνάστ α , ὦ βασιλε ῦ , καὶ φρόντιζε πραγμάτων. Ἀνδρὶ σοφῷ πᾶσα γῆ βατή· ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος.

2 84d Ἀνδρὸς δ ’ εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων: τῆς Πυθίας ἡ γνώμη, ἣν εἴρηκε πρὸς Γλαῦκον τὸν Ἐπικυδίδην Σπαρτιάτην. Ἀνὴρ ἀγαθὸς πλούτῳ χρώμενος φαιδρύνει πατρίδα καὶ τεμένη θεῶν κοσμεῖ καὶ φίλους πεπεδημένους ἐπιλύεται εὖ ποιῶν τὸν πλοῦτον ἅτε δὴ ἀγαθοεργὸν ἱστάμενον.

2 87a Ἄνευ γὰρ ἀναγκαίης ἰσχυρᾶς πίστιες ἰσχυραὶ οὐκ ἐθέλουσι συμμένειν ⋮ Ἡροδότου ἡ γνώμη. Ἀνθεῖ πρὸς ἐπιστήμην ψυχή, ὁπότε αἱ τοῦ σώματος ἀκμαὶ χρόνου μήκει μαραίνωνται.

2 93a Ἀνενδεὴς ὁ θεό ς . Ἄνευ τύχης γὰ ρ , ὥσπερ ἡ παροιμία, πόνος μονωθεὶς οὐκέτ’ ἀλγύνει βροτούς ⋮ Εὐριπίδου ἡ γνώμη.

2 97a Ἀνοίκειον ἐν τῷ πένθει γεωμετρία: ἐπὶ τῶν τὰ μὴ προσήκοντα ποιούντων. Ἀνδρὸς διαφέρει τοῦτ’ ἀνήρ· ὁ μὲν κακῶς πράττων τὸ λυποῦν ἤγαγ’ εἰς παράστασιν, ὁ δ’ ἐμφρόνως δεξάμενος ἤνεγκε κακῶς ⋮ Ἀντιφάνους.

2 98b Ἀνδρῶν τά δ ’ ἐστὶν ἐνδίκων τε καὶ σοφῶν, κἀν τοῖσι δεινοῖς μὴ τεθυμῶσθαι θεοῖς ⋮ Εὐριπίδου. Ἀνδριὰς μὲν ἐπὶ βάσεως, σπουδαῖος δὲ ἀνὴρ ἐπὶ καλῆς προαιρέσεως ἑστώς, ἀμετακίνητος ὀφείλει εἶναι ⋮ Σωκράτους.

2 100a Ἀνὴρ ὑπνώδης εὑρετὴς ὀνειράτων· μύστης γὰρ ὕπνος φασμάτων οὐ πραγμάτων. Ἄνθρωπος ὢν ἔπταικα ς , ἐν δὲ τῷ βίῳ τέρας ἐστίν, εἴτις εὐτύχηκε διὰ βίου ⋮ Βάθωνος.

2 100c Ἀνὴρ φιλοσώματος καλλωπίστριαν γυναῖκα ποιεῖ· φιλήδονος ἐρωτικὴν καὶ ἀκόλαστον· φιλάγαθος καὶ φιλόκαλος, σώφρονα καὶ κοσμίαν. Ἀνὴρ γὰρ χρηστὸς χρηστὸν αἰδεῖσθαι φιλεῖ ⋮ Εὐριπίδου.

2 100e Ἀναμὶξ ἀγκύλων ἱππόται : ἐπὶ τῶν μὴ κωλυομένων ποιεῖν τινὰ ἀγαθά, ὑπὸ γραμμάτων ἀγκύλων καὶ σκολιῶν· οἱ δὲ ἀγκύλοι γένος φάλαγγος πεζικῆς, τῆς ἱππικῆς προμαχόμενοι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀνὴρ πανοῦργος πρᾷον ὑπεισελθὼν σχῆμα, κεκρυμμένη πρόκειται παγὶς τοῖς πλησίον ⋮ Μενάνδρου.

2 1b Ἂν τι πράξῃς καλὸν μετὰ πόνου, ὁ μὲν πόνος οἴχεται, τὸ δὲ καλὸν μένει. ἄν τι ποιήσῃς αἰσχρὸν μετὰ ἡδονῆς, τὸ μὲν ἡδὺ οἴχεται, τὸ δὲ αἰσχρὸν μένει ⋮ Μουσωνίου. Ἀνθρωπίνως δεῖ τὰς τύχας φέρειν ξένε, τὰ κοινὰ κοινῶς δεῖ φέρειν συμπτώματα ⋮ Μενάνδρου.

3 2a Ἀνὴρ γὰρ ὅστις ἥδεται λέγειν ἀεὶ, λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς. Ἀνακυμβαλιάζεις τοὺς δίφρους : ἐπὶ ταραχῆς καὶ ζάλης λέγεται.

3 6a Ἂν μὴ παρῇ κρέας , ταρίχῳ στερκτέον : παρεγγυᾷ, ὅτι δεῖ τοῖς παροῦσιν ἀρκεῖσθαι. Ἀνέμων στάσεις γινώσκουσιν οἱ ἐγχώριοι.

3 12a Ἂν στρουθὸς εἰς χάρακας : πρὸς τοὺς οἰομένους λανθάνειν ἐν οἷς πράττουσι. Ἀνὴρ ὁ φεύγων καὶ πάλιν μαχήσεται : ἐπὶ τῶν ἑτεραλκεῖ νίκῃ χρωμένων ταχθείη.

3 21a Ἀναβάδην ἀναπαύομαι : ἐπὶ τῶν ἀμελῶν. Ἀνδρὸς ὑ π ’ ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν ⋮ Εὐριπίδου ἡ γνώμη.

3 21c Ἀνδρὸς μείζονος μὴ κοινώνει : παραινετικὴ ἡ παροιμία. Ἄνοια θνητοῖς δυστύχημα αὐθαίρετον ⋮ Μενάνδρου.

3 23a Ἂν μὴ καθάρῃς καὶ ἀλέσῃς οὐ μὴ φάγῃς. Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Χῖος, γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζών, ᾐδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ, καὶ τὴν τρίχα πολιὰν οὖσαν ἐπειρᾶτο βαφῇ ἀφανίζειν.

3 24a Παρελθὼν οὖν εἶπεν ἐκεῖνα ὑπὲρ ὧν καὶ ἀφίκετο. Ἀναστὰς οὖν ὁ Ἀρχίδαμος, Τί ἂν, ἔφη, οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει; Ἄξιος ὀβελίσκο υ . [5]

3 29a Ἀξίωμα μέγιστόν ἐστιν οὐ τὸ κεχρῆσθαι τιμαῖς, ἀλλὰ τὸ ἄξιον αὐτῶν εἶναι νομίζεσθαι ⋮ Ἀριστοτέλους. Ἀξίως οὐδεὶς τὸν θεὸν τιμᾷ, ἀλλὰ δικαίως μόνον, ὁπότε οὐδὲ τοῖς γονεῦσιν ἴσας ἀποδοῦναι χάριτας ἐνδέχεται· ἀντιγεννῆσαι γὰρ οὐχ οἷόν τε τούτους ⋮ Φίλωνος.

3 29c Ἄξιον τούτους ἐπαινεῖν τοὺς ἀνθρώπους, οἳ μηδεμίαν ὠφέλειαν προαιροῦνται τοῦ δικαίου. Χρήματα μὲν γάρ ἐστι κτήσασθαι, δόξαν δὲ χρημάτων οὐ ῥᾴδιον κτήσασθαι ⋮ Δημοσθένους. Ἄξιον δέ ἐστιν εἰς τὸν περὶ τῆς ἡδονῆς λόγον προσελθόντα μηδὲ ἐκείνην ἀμνημόνευτον ἐᾶσαι, τὴν παρὰ πᾶσι τοῖς νοῦν ἔχουσιν εὐδοκιμοῦσαν, ἣν ἡδονὴν ὀνομάζουσι, καὶ χαρὰν καὶ τέρψιν· περιγίνεται δ’ ἐκ τῶν καλῶν μαθημάτων καὶ τῶν ἐνδόξων κατορθωμάτων. [5]

3 29d Ἀμφοτέρων δὲ τούτων ὑπάρχει τῷ γέροντι πρὸς αὑτὸν ἀναμιμνήσκεσθαι, καὶ καθάπερ κτήμασι τέρπεσθαι, λογιζόμενον, ὅτι ἡ τύχη ἡ πάντων κυρία τούτων, ταῦτα ἄκυρός ἐστιν ἀφελέσθαι ⋮ Φαβωρίνου. Ἄοινον μέθην ὁ Θεόφραστος τὰ κουρεῖα ἐκάλει.

3 31a Ἅπαντα τοῖς καλοῖς ἀνδράσι πρέπει: δήλη. Ἅπαντα τῷ πλουτεῖν ἔσθ’ ὑπήκοα.

3 45a Ἄπληστον τὸ διὰ παντὸς κέρδος: ἀπόφθεγμα Πιττάκου. Ἀπὸ γλώττης φίλος : ἐπὶ τῶν πράγματι μέν, οὐ λόγῳ δὲ εὐεργετούντων.

3 54a Ἀ π ’ ὄνων ἐ φ ’ ἵππους : ἐπὶ τῶν ἀπὸ χειρόνων ἐπὶ τὰ κρείττω μεταβαλλόντων. Ἀπὸ νεκρῶν φορολογεῖ : αὕτη ἂν ῥηθείη τοῖς ἀπὸ νεκρῶν κερδαίνουσιν· ὅθεν καὶ ὁ παρὰ τῷ Λουκιανῷ Χάρων πρὸς τὸν Ἑρμῆν ἀπαιτοῦντα τὰ χρήματα, ἃ κατηνάλωσεν εἴς τε ἄγκυραν καὶ τροπωτῆρα κἀν τοῖς λοιποῖς ὧν ἐδεῖτο τὸ σκαφήδιον, ἀδύνατον ἔφη ἀποδοῦναι, ἢν μὴ λοιμός τις ἢ πόλεμος καταπέμψῃ ἀθρόους τινάς. [5]

3 55a Ἁπλοῦν θύλακον πατεῖ : ἐπὶ τῶν εὐκαταφρονήτων Θεόδεκτος εἶπεν. Ἅπαντα βρωτὰ τοῖς πολιορκουμένοις.

3 59a

Ἄπαγε ξένον ἐν χειμῶνι : ἐπὶ τῶν ἀκαίρως ἐλθόντων. Ἅπας μὲν ἀὴρ ἀετῷ περάσιμος· ἅπασα δὲ χθὼν ἀνδρὶ γενναίῳ πατρίς.

3 59c Ἅπαν θ ’ ὁ λιμὸς γλυκέα πλὴν αὑτοῦ ποιεῖ. πενία γάρ ἐστιν ἡ τρόπων διδάσκαλος. Ἀπάτη γὰρ εὐπρεπεῖ αἴσχιόν τι τοῖς γε ἐν ἀξιώματι πλεονεκτῆσαι ἢ βίᾳ ἐμφανεῖ· τὸ μὲν γὰρ ἰσχύος δικαιώσει, ἣν ἡ τύχη ἔδωκεν, ἐπέρχεται, τὸ δὲ γνώμης ἀδίκου ἐπιβουλῇ ⋮ Θουκυδίδου.

3 60b Ἀπό μοι θανεῖν γένοιτ’· οὐ γὰρ ἂν ἄλλη λύσις ἐκ πόνων γένοιτ’ οὐδ’ ἅμα τῶνδε ⋮ Ἀνακρέοντος. Τίνες γεγόνασιν ἀρχηγοὶ τεχνῶν καὶ ἐπιστημῶν; Ἀπελλῆς βοτανικῆς.

3 60c Δημοσθένης ῥητορικῆς τῆς τρίτης μετὰ τὰς δύο φοράς. Παπιανὸς νομοθεσίας. Ἄντινος λογχοποιΐας. Εὐρύνοος λογχοτοξοσύνης. Εὐρύδαμνος Μεσήνιος θώρακος πολεμικοῦ. Εὔανδρος κνημῖδος καὶ ἀσπίδος. Ὀππιανὸς ἁλιευτικῆς· Τριπτόλεμος σπορᾶς σίτου. Πάμφιλος ζωγραφικῆς. Τύφης ναυτικῆς. Ἄργος ναυπηγίας. Ἀρχιμήδης μηχανικῆς. Ἀποτεθρυωμένος ἀνήρ : ἤτοι ἀπηγριωμένος.

3 60d εἴρηται δὲ κατὰ μεταφορὰν τὴν ἀπὸ τεθρίων, ἅπερ ἐστὶν ἄγονα ἄγρια λάχανα. Ἀπροσδόκητον οὐδὲν ἀνθρώποις πάθους· ἐφημέρους γὰρ τὰς τύχας κεκτήμεθα ⋮ Διφίλου.

3 60f Ἀπορίη ξυνὴ τῆς ἑκάστου χαλεπωτέρη· οὐ γὰρ ὑπολείπεται ἐλπὶς ἐπικουρίης ⋮ Δημοκρίτου. Ἄπολλο ν , ὡς δυσάρεστον ἔστ’ ἀνιώμενος ἄνθρωπος, ἐφ’ ἅπασί τε δυσχερῶς ἔχει ⋮ Ἄμφιδος.

3 60h Ἀπραγμόνως ζῆν ἡδύ· μακάριος βίος καὶ σεμνός, ἐὰν ᾖ μεθ’ ἑτέρων ἀπραγμόνων· ἐν θηρίοις δὲ καὶ πιθήκοις ὄντα δεῖ εἶναι πίθηκον, ὢ ταλαιπώρου βίου ⋮ Ἀπολλοδώρου. Ἀποστρέφου τῶν κολάκων τοὺς ἀπατηλοὺς λόγους.

3 60i ἐξαμβλύνοντες γὰρ τοὺς ψυχῆς λογισμοὺς οὐ συγχωροῦσι τῶν πραγμάτων τὴν ἀλήθειαν· ἢ γὰρ ἐπαινοῦσι τὰ ψόγου ἄξια ἢ ψέγουσι τὰ ἐπαίνων κρείττονα ⋮ Φίλωνος. Ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας τἄπη.

3 63a Ἅπαν τὸ λυποῦν ἐστὶν ἀνθρώποις νόσος ⋮ Ἀντιφάνους. Ἅπαντα δοῦλα τοῦ φρονεῖν καθίσταται ⋮ Μενάνδρου.

3 63c Ἃ πάσχοντες ὑ φ ’ ἑτέρων ὀργίζεσθε, ταῦτα τοῖς ἄλλοις μὴ ποιεῖτε ⋮ Ἰσοκράτους. Ἅπας ὁ ὑπὸ γῆν κὶ ὑπὲρ γῆν χρυσὸς ἀρετῆς οὐκ ἀντάξιος ⋮ Πλάτωνος.

3 64a Ἅπαν τ ’ ἐρίζεις καὶ συνιεῖς οὐδὲ ἕν. γράμματα μαθεῖν δεῖ καὶ μαθόντα νοῦν ἔχειν. οὐκ ἄν τις εἴπῃ πολλὰ θαυμασθήσεται· ὁ μικρὰ δ’ εἰπὼν μᾶλλον, ἂν ᾖ χρήσιμα ⋮ Φιλωνίδου. Ἅπαν τ ’ ἐν ἀνθρώποισι γηράσκειν ἔφυ, καὶ πρὸς τελευτὴν ἔρχεται τὴν τοῦ χρόνου, πλὴν ὡς ἔοικε τῆς ἀναιδείας μόνον.

3 64b αὕτη δ’ ὅσῳπερ αὔξεται θνητῶν γένει, τοσῷδε μεῖζον γίγνεται καθ’ ἡμέραν. Ἅπαντα τὰ ζῷά ἐστι μακαριώτατα καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.

3 64c τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί. οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως. τούτῳ κακὸν δι’ αὑτὸν οὐδὲν γίνεται, ἃ δ’ ἡ φύσις δέδωκε ταῦτ’ ἔχει. ἡμεῖς δὲ χωρὶς τῶν ἀναγκαίων κακῶν αὐτοὶ παρ’ αὑτῶν ἕτερα προσπορίζομεν, λυπούμεθ’ ἂν πτάρῃ τις, ἂν εἴπῃ κακῶς, ὀργιζόμεθ’, ἂν ἴδοι τις ἐνύπνιον, σφόδρα φοβούμεθ’, ἂν γλαῦξ ἀνακράγῃ, δεδοίκαμεν. ἀγωνίαι, δόξαι, φιλοτιμίαι, νόμοι, ἅπαντα ταῦτ’ ἐπίθετα τῇ φύσει κακά ⋮ Μενάνδρου. Ἀπελλῆς ὁ ζωγράφος ἐρωτηθεὶς, διὰ τί τὴν τύχην καθημένην ἔγραψεν, εἶπεν, Οὐχ ἕστηκε γάρ.

3 71a Ἀργυρὸς λιμός : ἐπὶ τῶν ἐν σιτοδείᾳ καὶ σπάνει τῶν ἀναγκαίων πολὺ ἀργύριον κερδαινόντων. Ἄρχε πρῶτον μαθὼν ἄρχεσθαι· ἄρχεσθαι γὰρ μαθὼν ἄρχειν ἐπιστήσῃ ⋮ Σόλωνος ἡ ὑποθήκη.

3 77b Ἀρχὴν δὲ θηρᾶν οὐ πρέπει τἀμήχανα. Ἁρπακτικώτερος γαλῶν.

3 81a Ἀρκάδας μιμήσομαι : ἐπὶ τῶν ἑτέροις πονούντων. Ἄρκευθός ἐστι φυτὸν ἀκανθῶδες, οὗ τὴν ὀδμὴν πάντα τὰ ἑρπετὰ ἀποστρέφονται· παρὰ τὴν ἀρὰν, ὅ ἐστι τὴν βλάβην, κεύθειν.

3 88b Ἀρκοῦ κα θ ’ αὑτο ῦ , καὶ μὴ διάρπαζε τὰ πλησίον, μηδ’ αὖ προΐεσο τῶν σῶν, ὡς κατὰ τοῦτο μειονεκτῶν ⋮ Ἱέραξ εἶπε. Ἀρχὴν ἔχων κόσμεε, αὐτὸς δὲ μὴ μεταβάλλεο.

3 90b Ἀρχὴν λαβὼν μὴ ἐπαίρεο, ὡυτὸς δὲ διατέλεε· οὕτω γὰρ καὶ ἀποθέμενος οὐκ ἀφῃρῆσθαι τοῦ σεμνύνοντός σε νομισθήσεαι ⋮ Εὐσεβίου. Ἀρθεὶς δ ’ ηὖ τ ’ ἀπόλευ κάδος πέτρης, εἰς πολιὸν κῦμα κολυμβῶ μεθύων ἔρωτι ⋮ Ἀνακρέοντος.

3 90d Ἀργαλέος γάρ τ’ ἐστὶ θεὸς βροτῷ ἀνδρὶ δαμῆναι ⋮ Ὁμήρου. Ἀρετῆς ἀτιμαζομένη ς , πλοῦτος μοῦνος σπουδαζόμενος καὶ ἐνδυναστεύσας, ὕβριός τε καὶ ὑπερηφανίης ὑπηρέτης, καὶ πάντων κακῶν ὑπ’ ἐξουσίης τε καὶ τοῦ ἀνεπιπλήκτου χορηγὸς γίγνεται ⋮ Εὐσεβίου.

3 97a Ἀρετῆς οἰκεῖον ἀδικίαν μισεῖν, εὐσέβειαν φυλάσσειν ⋮ Κλεοβούλου. Ἄρχων μὲν ἐπιτήδευε πρᾷος εἶναι, ἀρχόμενος δὲ μεγαλόφρων ⋮ Ἰσοκράτους.

3 97c Ἄρχεσθαι μὴ μαθὼν ἄρχειν μὴ ἐπιχείρει ⋮ Κλειτάρχου. Ἀρχικὸς εἶναι βούλου μὴ χαλεπότητι μηδὲ τῷ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας ⋮ Ἰσοκράτους.

3 97e Ἀργὸς γὰρ οὐδεὶς θεοὺς ἔχων ἀνὰ στόμα βίον δύναιτ’ ἂν συλλέγειν ἄνευ πόνων ⋮ Εὐριπίδου. Ἀρεοπαγίτης : ἐπὶ τῶν σκυθρωπῶν καὶ ὑπερσέμνων.

4 11a Ἀσκὸν λήψεται ὁ πρότερον πιών : ἐπὶ τῶν γενναίως ὑπὲρ ἄλλων ἀγωνιζομένων. Ἆσέ με δαίμονος αἶσα κακὴ καὶ ἀθέσφατος οἶνος.

4 11c Ἀσκεῖν μὲν ἀρετὴ ν , εὐτυχεῖν δ’ αἰτεῖν θεούς. ἔχων γὰρ ἄμφω ταῦτα, μακάριός θ’ ἅμα κεκλημένος ζῆν κἀγαθὸς δυνήσεται. Ἀσελγέστερος ὄνο υ .

4 11e Ἀσελγής ἐστιν ὁ ἀνήρ : ἀντὶ τοῦ ἄγαν ὄζει. παρῆκται δέ, ὡς φασίν, ἐξ αἰτίας τοιαύτης· Σέλγος πόλις ἐστὶ τῆς Πισιδίας, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι καὶ ἀλλήλοις ἐκοινώνουν· κατ’ ἐπίτασιν οὖν τὸ ἀσελγαίνειν. Πλάτωνος ἐπίγραμμα εἰς Φαῖδρον.

4 12a Ἀστέρας εἰσαθρεῖς ἀστὴρ ἐμός· εἴθε γενοίμην οὐρανός· ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω. Ἄλλο.

4 12b τοῦ αὐτοῦ εἰς τὸν αὐτόν. Ἀστὴρ μὴν πρὶν ἔλαμπες ἐνὶ ζωοῖσιν ἑῷος· νῦν δὲ θανὼν λάμπεις, ἕσπερος ἐν φθιμένοις. Ἀσύνετο ς , ὅστις ἐν φόβῳ μὲν ἀσθενής, λαβὼν δὲ μικρὸν τῆς τύχης φρονεῖ μέγα ⋮ Εὐριπίδου.

4 14a Ἀσφαλής ἐσ τ ’ ἀμείνων ἢ θρασὺς στρατηλάτης ⋮ Εὐριπίδου. Ἀσφαλὴς πᾶς τόπος τῷ ζῶντι μετὰ δικαιοσύνης.

4 14c Ἀσφόδελος σκιλλῶδες φυτόν, φύλλα ἔχον μακρὸν καὶ ἀνθερικὸν ἐσθιόμενον. καὶ τὸ σπέρμα δὲ αὐτοῦ φρυγόμενον, καὶ ἡ ῥίζα κοπτομένη μετὰ σύκων πλείστην ὄνησιν ἔχει. Περσεφόνης καὶ χθονίων ἱερόν. καὶ Ῥόδιοι τὴν Κόρην οὐ τὴν Ἄρτεμιν ἀσφοδέλῳ στέφουσιν. προπαροξυτόνως δὲ ἀναγνωστέον. καὶ Ἡσίοδος· οὐδ’ ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ’ ὄνειαρ. τὸν δὲ τόπον ἐν ᾧ φύεται, ὀξυτονητέον, ὡς παρ’ Ὁμήρῳ· κατ’ ἀσφοδελὸν λειμῶνα. Ἀστοῖσιν δ ’ οὔπω πᾶσιν ἁδεῖν δύναμαι. [5]

4 14d οὐδὲν θαυμαστόν, Πολυπαίδη. οὐδὲ γὰρ ὁ Ζεύς οὔθ’ ὕων πάντας ἁνδάνει οὔτ’ ἀνέχων. σοὶ δ’ ἐγὼ εὖ φρονέων ὑποθήσομ’, οἷάπερ αὐτὸς Κύρν’ ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ’ ἐὼν ἔμαθον ⋮ Θεόγνιδος. Ἀτὰρ θεὶς ἄλλο τ ’ ἐπ’ ἄλλῳ Ζεὺς ἀγαθόν τε κακόν τε διδοῖ. [5]

4 19a Ἃ τῇ λεοντῇ μὴ σθένεις , τὴν ἀλωπεκῆν πρόσαψον : ἐὰν μὴ φανερῶς δύνῃ, φησίν, ἀμυνόμενος βλάψαι, τῇ πανουργίᾳ χρῆσαι. Ἀτύφου μοίρας εἷς : ἀντὶ τοῦ ἀβλαβοῦς.

4 23a Ὅθεν καὶ ὁ Πλάτων ἄτυφόν φησι τὸν ἀβλαβῆ ἐν Φαίδωνι· ἐπεὶ τὸ τύφον βλάπτει. καὶ ἐπιτεθυμμένον τὸ καῖον, ὅπερ ἀπὸ τοῦ θύπτω τὸ ἐπικαίω λέγεται. ἐξ οὗ καὶ θυμάλωπες οἱ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀπολελειμμένοι τῆς θύψεως ἄνθρακες, ἤγουν οἱ ἡμίκαυτοι. Ἀτυχίαν κρύπτ ε , ἵνα μὴ τοὺς ἐχθρούς σου εὐφράνῃς ⋮ Πλουτάρχου. [5]

4 23c Ἀτυχοῦντι μὴ ἐπιγέλα · κοινὴ γὰρ ἡ τύχη ⋮ Χίλωνος. Ἃ τοῖς ἄλλοισιν ὡς φαῦλα ἐπιτιμᾷς, ταῦτα πρότερον αὐτὸς ποιέειν φυλάσσεο ⋮ Εὐσεβίου.

4 23e Ἀτραπὸν εἰς ἄδεω ἤνυσα τὴν οὔπω τις ἐναντίον ἦλθεν ὁδίτης ⋮ Φιλήτου. Ἄτοπόν ἐστι διώκοντα τὰς τιμὰς φεύγειν τοὺς πόνους, δι’ ὧν αἱ τιμαί.

4 23g Ἀτέκμαρτος ὁ πᾶς βίος, οὐδὲν ἔχων πιστόν, πλανᾶται συντυχίαις· ἐλπὶς δὲ φρένας παραθαρσύνει· τὸ δὲ μέλλον ἀκριβῶς οἶδεν οὐδεὶς ὁ θάνατος ὅπη φέρεται· θεὸς δὲ πάντας ἐν κινδύνοις θνατοὺς κυβερνᾷ· ἀντιπνεῖ δὲ πολλάκις ἀτυχίας δεινή τις αὔρα. Ἀτελέστατα καὶ ἀμήχανα τοὺς θανόντας κλαίειν ⋮ Στησιχόρου. [5]

4 27a Ἄττης λόφος : ἐπὶ τῶν σφόδρα βαρυσυμφορωτάτων. Ἀτεχνῶς τὸν σωρόν : ἐπὶ τῶν εὐηθιζομένων.

4 31a Αὐτί κ ’ ἔπει θ ’ ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον. Ἀφέμενος τῆς δρυὸς , ἕπεται τῶν πυρῶν : ἐπὶ τῶν ἀπὸ χειρόνων ἐπὶ τὰ βελτίω μεταπεσόντων.

4 51b Ἀφόρητος γίνεται κακία ἐπαινουμένη. Ἀφθὰς σοὶ λελάληκεν : Φθὰς καὶ Ἀφθὰς ὁ Ἥφαιστος.

4 54b Ἁ φιλοχρηματία Σπάρταν ἕλοι , ἄλλο δὲ οὐδέν : ἐπὶ τῶν ἐκ παντὸς κερδαίνειν βουλομένων. Ἀφρήτω ρ , ἀθέμιστο ς , ἀνέστιός ἐστιν ἐκεῖνος, ὃς πολέμου ἔραται ἐπιδημίου, ὀκρυόεντος ⋮ Ὁμήρου ἡ γνώμη.

4 54d Ἄφυκτόν ἐστι τὸ τῆς πεπρωμένης κακόν: Ἀριστοτέλης. Ἀφωνότερος πέρδικο ς .

4 62b Ἀφροδίτα τὰ μὲν οὐκ ἔστι μάργος δ’ Ἔρως οἷα παίσδα ἄκρ’ ἐπ’ ἄνθηκα βαίνων, ἃ μή μοι θίγῃς, τῶ κιπαρίσσω ⋮ Ἀλκμᾶνος. Ἀχαλίνων στομάτων ἀνόμου τ’ ἀφροσύνας, τέλος δυστυχία: δήλη.

4 64a Ἄχει πέπληγμαι : ἐπὶ τοῦ δυσφοροῦντος. Ἄχρι εἰς τὸ βάραθρον : ἐπὶ τῶν μέχρι τελευτῆς ἢ καλῶν ἢ κακῶν ἢ εὐγενῶν ἢ δυσγενῶν ὄντων.

4 68a Ἀχάριστον εὐεργετεῖν καὶ νεκρὸν μυρίζειν ἑνὶ σύγκειται. Ἀψυχότερος λαγωοῦ φεύγοντος : ἐπὶ τῶν σφόδρα δειλῶν.

4 71a Βαλανεῦσιν ἔοικας : ἐπὶ τοῦ πολυπράγμονος καὶ περιέργου. παρόσον σχολὴν ἄγοντες πολυπραγμονοῦσιν οἱ βαλανεῖς. Βαλανείων διὰ τέτταρας αἰτίας χρώμεθα, διὰ καθαριότητα, ἀλέας χάριν, ὑγιείας, ἡδονῆς· οἱ παλαιοὶ δὲ ταῦτα ἀνθρωπογναφεῖα ἐκάλουν, ἐπεὶ θᾶττον ἢ προσῆκε ῥακοῖ τὰ σώματα καὶ προγηράσκειν ἀναγκάζει.

4 71b Ἐκλήθη δὲ βαλανεῖον ὅτι οἱ παλαιοὶ τὰς βαλάνους ἐσθίοντες τὰ κελύφη ἔκαιον ἐν τοῖς λουτροῖς. Βάλ λ ’ εἰς ὄλεθρον : καί, Βάλ λ ’ ἐς φθορά ν . [5]

4 87a Βαλάντιον ἐρώντων φύλλῳ πράσου δέδεται : παρόσον οἱ ἐρῶντες εὐκόλως καταναλίσκουσιν. Βδάλλειν : τὸ ἀμέλγειν· παρὰ τὸ βίᾳ ἐκθλιβόμενον ἀλδίσκειν τὸ γάλα.

4 88a Κλήμεις· οὕτως ἡ μετάδοσις, ἀγαθὴ φιλανθρωπίας ὑπάρχουσα πηγή, κοινωνοῦσα τοῖς διψῶσι ποτοῦ αὔξεται πάλιν καὶ πίμπλαται, ὃν τρόπον ἐπὶ τοὺς θηλαζομένους ἢ καὶ βδαλλομένους μαστοὺς ἐπιῤῥεῖν εἴωθε τὸ γάλα. Βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ: Φωκυλλίδου ἀπόφθεγμα. [5]

4 89b Βεβαιοτέραν τὴν φιλίαν ἔχε πρὸς τοὺς γονεῖς ⋮ Χαιρήμονος. Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ βίῳ.

4 89c βιοῖ γὰρ οὐδεὶς ὃν προαιρεῖται τρόπον. Βίαντος Τευταμίδου Πριηνέως δίκη : οὗτος εἷς τῶν ἑπτὰ σοφῶν ἦν, λέγεται δὲ εἰς τὰς δίκας δεινὸς γεγονέναι· οὗτος δίκην ὑπέρ τινος λέξας ἤδη

ὑπέργηρως ὤν, μετὰ τὸ καταπαῦσαι τὸν λόγον ἀπέκλινε τὴν κεφαλὴν εἰς τοὺς τῆς θυγατρὸς υἱοῦ κόλπους.

4 92a εἰπόντος δὲ καὶ τοῦ ἐναντίου καὶ τῶν δικαστῶν τὴν ψῆφον ἐνεγκόντων τῷ ὑπὸ τοῦ Βίαντος βοηθουμένῳ, λυθέντος τοῦ δικαστηρίου νεκρὸς ἐν τοῖς κόλποις εὑρέθη. καὶ αὐτὸν μεγαλοπρεπῶς ἔθαψεν ἡ πόλις, εἰς ὃν καὶ Διογένους τόδε τὸ ἐπίγραμμα φέρεται. Ἐπίγραμμα. Τῇδε Βίαντα κέκευθα τὸν ἀτρέμας ἤγαγεν Ἑρμῆς εἰς Ἀΐδην, πολιῷ γήραϊ νιφόμενον. εἶπε γὰρ, εἶπε δίκην ἑτέρου τινός, εἶτ’ ἀποκλινθεὶς παιδὸς ἐς ἀγκαλίδας μακρὸν ἔτεινεν ὕπνον. Βίον Κύκλωπος : τὸν ἀνόσιον καὶ ὠμόν.

4 97a Βίος ἀνεόρταστο ς , μακρὴ ὁδὸς ἀπανδόκευτος. Βίον καλὸν ζῇ ς , ἂν γυναῖκα μὴ ἔχῃς ⋮ Φιλήτου.

4 97c Βίος βίου δεόμενος οὐκ ἔστι βίος. Βλέπει τὸ στῆθος ἀετὸς τρωθεὶς πάλαι, ἀλγῶν δὲ λοιπὸν ἦστο πολλὰ δακρύων, βλέπων δ’ ὀϊστὸν εἶπεν ἐπτερωμένον, βαβαὶ πτερόν με τὸν πτερωτὸν ὀλλύει.

5 10a Βοῦς ἐπὶ σωρῷ : ἐπὶ τῶν ἡδυπαθούντων. Βουλείας δικάζει : ἐπὶ τῶν τὰς κρίσεις ὑπερτιθεμένων ἀεὶ δικαστῶν.

5 13a Βούλου γονεῖς πρώτιστον ἐν τιμαῖς ἔχειν ⋮ Φιλήμονος. Βρώτειον οὖς : ἐπὶ τῶν ἀναισθήτων.

5 16b Βραχεῖ λόγῳ δὲ πολλὰ πρόσκειται σοφά. Βραχὺς ὁ βίος ἀνθρώπῳ εὖ πράττοντι, δυστυχοῦντι δὲ μακρός ⋮ Ἀπολλωνίου.

5 16d Βραχύ τοι σθένος ἀνδρός, ἀλλὰ ποικιλίαι πραπίδων ⋮ Εὐριπίδου. Βραδέως μὲν φίλος γίνου· γενόμενος δὲ πειρῶ διαμένειν· ὁμοίως γὰρ αἰσχρὸν μηδὲν ἄφιλον ἔχειν καὶ πολλοὺς ἑταίρους μεταλλάττειν.

5 19a Γάλα τρέφει νήπι α , παῖδα δ’ ἔμφρονα, γάλα πιαίνει σωφροσύνη καθάπερ. Γάλακτος φυσιολογία : τὸ μὲν αἷμα πρωτόγονον ἐν ἀνθρώπῳ εὑρίσκεται, ὃ δή τινες οὐσίαν εἰπεῖν ψυχῆς τετολμήκασι· τοῦτο δὴ τὸ αἷμα φυσικῇ τρεπόμενον πέψει, κυησάσης τῆς μητρός, φιλοστοργίᾳ συμπαθεῖ, ἐξανθεῖ καὶ γηράσκει πρὸς τὸ ἄφοβον τοῦ παιδίου· καὶ ἔστι μὲν τῆς σαρκὸς ὑγρότερον τὸ αἷμα, οἷον ὑγρά τις οὖσα σάρξ, τοῦ δὲ αἵματος νοστιμώτερον τὸ γάλα καὶ λεπτομερέστερον· εἴτε γὰρ τὸ ἐπιχορηγούμενον αἷμα τῷ ἐμβρύῳ, καὶ διὰ μητρῴου πρότερόν ἐστι πεμπόμενον ὀμφαλοῦ, εἴτε αὖ τὸ καταμήνιον αὐτό, ἀποκλεισθὲν τῆς οἰκείας φορᾶς, κατὰ φυσικὴν ἀνάχυσιν χωρεῖν κελεύεται πρὸς τοῦ παντρόφου καὶ γενεσιουργοῦ θεοῦ ἐπὶ τοὺς φλεγμαίνοντας ἤδη μαστοὺς καὶ ὑπὸ πνεύματος ἀλλοιούμενον θερμοῦ, ποθεινὴ σκευάζεται τῷ νηπίῳ τροφή, αἷμα τὸ μεταβάλλον ἐστί· μάλιστα γὰρ πάντων μελῶν, μαστοὶ συμπαθεῖς μήτρᾳ.

5 19b ἐπὰν οὖν κατὰ τοὺς τόκους ἀποκοπὴν λάβῃ τὸ ἀγγεῖον, δι’ οὗ πρὸς τὸ ἔμβρυον τὸ αἷμα ἐφέρετο, μύσις μὲν γίνεται τοῦ πόρου, τὴν δὲ ὁρμὴν ἐπὶ τοὺς μαστοὺς τὸ αἷμα λαμβάνει, καὶ πολλῆς τῆς ἐπιφορᾶς γενομένης διατείνονται καὶ μεταβάλλει τὸ αἷμα εἰς γάλα, ἀναλόγως τῇ ἐπὶ τῆς ἑλκώσεως εἰς πύον τοῦ αἵματος μεταβολῇ, εἴτε αὖ παρὰ τῶν ἐν μαστοῖς παρακειμένων φλεβῶν, ἀναστομουμένων κατὰ τὰς διατάσεις τῆς κυΐσεως, τὸ αἷμα μεταχεῖται εἰς τὰς φυσικὰς τῶν μαστῶν σύραγγας· τοῦτο δὲ ἀνακιρνάμενον τὸ ἀπὸ τῶν γειτνιουσῶν καταπεμπόμενον ἀρτηριῶν πνεῦμα, μενούσης ἔτι τῆς ὑποκειμένης ἀκεραίου τοῦ αἵματος οὐσίας, ἐκκυμαινόμενον λευκαίνεται, καὶ τῇ τοιαύτῃ ἀνακοπῇ κατ’ ἐξαφρισμὸν μεταβάλλεται, παραπλήσιόν τι πεπονθὸς τῇ θαλάττῃ, ἣν δὴ κατὰ τὰς ἐκβολὰς τῶν πνευμάτων οἱ ποιηταί φασιν ἀποπτύειν ἁλὸς ἄχνην · πλὴν ἀλλὰ αἷμα ἔχει τὴν οὐσίαν. Τούτῳ τῷ τρόπῳ καὶ οἱ ποταμοὶ ῥόθῳ φερόμενοι τῇ ἐμπεριλήψει τοῦ περικεχυμένου ἀέρος ξαινόμενοι, ἀφρὸν μυρμύρουσι, καὶ τὸ ἐνστόμιον ἡμῖν ὑγρὸν τῷ πνεύματι ἐκλευκαίνεται. τίς οὖν ἡ ἀποκλήρωσις μὴ οὐχὶ καὶ τὸ αἷμα ἐπὶ τὸ φωτεινότατον καὶ λευκότατον ὑπὸ τοῦ πνεύματος τρέπεσθαι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὁμολογεῖν; πάσχειν τὴν μεταβολὴν κατὰ ποιότητα, οὐ κατ’ οὐσίαν· ἀμέλει γοῦν οὐ τροφιμώτερον ἄλλο τι, οὐδὲ μὴν γλυκύτερον, ἀλλ’ οὐδὲ λευκότερον εὕροις ἂν γάλακτος· πάντη δὲ ἔοικε τοῦτο τῇ πνευματικῇ τροφῇ, γλυκεῖα μὲν διὰ τὴν χάριν ὑπάρχουσα, τρόφιμος δὲ, ὡς ζωή, λευκὴ δὲ ὡς ἡμέρα Χριστοῦ καὶ τὸ αἷμα Χριστοῦ πεφανέρωται ὡς γάλα ⋮ Οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν ποιμνίων ἔκ τε τῶν βουκολίων ἔξεστι μαθεῖν, ὡς ἐξ αἵματος γάλα κατὰ μεταβολὴν γίνεται· τὰ γὰρ ζῷα ταῦτα τοῦ ἔτους κατὰ τὴν ὥραν, ἣν ἔαρ καλοῦμεν, ὑγροτέρου τοῦ περιέχοντος γεγονότος, ἀλλὰ καὶ τῆς πόας καὶ τῶν νομῶν εὐχίλων, τὸ τηνικάδε οὐσῶν καὶ ἐνίκμων αἵματος πίμπλαται πρότερον, ὡς ἐκ τῆς διατάσεως τῶν φλεβῶν κυρτουμένων τῶν ἀγγείων δείκνυται· ἐκ δὲ τοῦ αἵματος δαψιλέστερον χεῖται τὸ γάλα· θέρους δ’ ἔμπαλιν ὑπὸ τοῦ καύματος συγκαιόμενον καὶ ἀναξηραινόμενον ἵστησι τὴν μεταβολὴν τὸ αἷμα καὶ ταύτῃ ἔλαττον ἀμέλγονται. Γαλῆ στέαρ : ἐπὶ τῶν οἷς χαίρουσι ταῦτα λαμβανόντων.

5 22a Γαστὴρ παχεῖα λεπτὸν οὐ τίκτει νόον. Γάμους δ ’ ὅσοι σπεύδουσι μὴ πεπρωμένους, μάτην πονοῦσιν· ἡ δὲ τὸ χρεὼν πόσει μένουσα, κἀσπούδαστος ἦλθεν εἰς δόμους ⋮ Εὐριπίδου.

5 24b Γάμους εὐτελεῖς καὶ ἰσοτίμους ποιεῖν ⋮ Φίλωνος. Γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι, τρόπον γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν.

5 24c αὕτη γὰρ ἡ προὶξ οἰκίαν σώζει μόνη. ὅστις δὲ τρυφερῶς τὴν γυναῖκ’ ἄγει λαβών, σύνεργον οὗτος ἀντὶ δεσποίνης ἔχει, εὔνουν, βεβαίαν εἰς ἅπαντα τὸν βίον ⋮ Ἱππώνακτος. Γαμψώνυχας μὴ τρέφειν : ἀντὶ τοῦ ἅρπαγας φεύγειν.

5 26a Γαμεῖν κεκρικότα δεῖ σε γινώσκειν, ὅτι ἀγαθὸν μεθέξεις, ἂν μὴ λάβῃς μικρὸν κακόν ⋮ Μενάνδρου. Γάμου ἀρίστη ξυμφωνίη, ἀμφοτέρους σωφροσύνην ἀσκεῖν ⋮ Εὐσεβίου.

5 26c Γαστρὸς δὲ πειρῶ πᾶσαν ἡνίαν κρατεῖν. μόνη γὰρ ὧν πέπονθεν οὐκ ἔχει χάριν, ἀεὶ δὲ τοῦ δέοντος ἐνδεῖται πλέον. ὅστις δὲ μὴ γαστρὸς κρατεῖν ἐπίσταται, τὰ πλείω τῶν κακῶν ἔχει κακά ⋮ Χάρητος. Γελᾶν ὁ θέλων μετὰ μειρακίου αἰσχρὰς ὕβρεις κερδήσει καὶ μέμψιν ⋮ Μοσχίωνος.

5 29b Γελᾷ δ ’ ὁ μωρό ς , κἄν τι μὴ γέλοιον ᾖ. Γεννητόρων ἕκατι κατθανεῖν καλόν.

5 30a αὐτὸς τραφεὶς δὲ τῶν φυτευσάντων ὕπο, καλῶς τὸν αὐτὸν ἔρανον αὐτοῖσιν νέμοις ⋮ Δικαιογένους. Γένους δ ’ ἔπαινός ἐστιν ἀσφαλέστατος, κατ’ ἄνδρ’ ἐπαινεῖν, ὅστις ἂν δίκαιος ᾖ, τρόπους τ’ ἄριστος, τοῦτον εὐγενῆ καλεῖν ⋮ Ἀστυδάμαντος.

5 30c Γεγόναμεν ἅπαξ · δὶς οὐκ ἔστι γενέσθαι· δεῖ δὲ τὸν αἰῶνα μηκέτ’ εἶναι. Σὺ δὲ τῆς αὔριον οὐκ ὢν κύριος, ἀναβάλῃ τὸν καιρόν· ὁ δὲ πάντων βίος μελησμῷ παραπόλλυται· καὶ διὰ τοῦτο ἕκαστος ἡμῶν ἀσχολούμενος ἀποθνήσκει ⋮ Ἐπικούρου ἡ γενναία αὕτη ὑποθήκη. Γέροντι μηδέποτε μηδὲν χρηστὸν ποιεῖν : παραινεῖ, μηδένα ἀκαίρως εὐεργετεῖν.

5 36a Γέρων ὀλίγα φοβεῖται : δήλη. Γέρων πίθηκος οὐχ ἁλίσκεται πάγῃ : τοῦτ’ ἠρώτησε Διονύσιος Ἡρακλείδην· Ἡρακλείδης δ’ ἀπεκρίθη πρὸς Διονύσιον· γέρων πίθηκος ἁλίσκεται μὲν, μετὰ χρόνον δ’ ἁλίσκεται.

5 37a Ἐπὶ τῶν ἅπαξ δυστυχησάντων. Γεύεται πίσσης ὁ μῦς : ἐπὶ τῶν ἀξίως τιμωρουμένων.

5 40a Γῆ καὶ θάλασσα οὐρανομήκης : ἐπὶ τῶν σφόδρα ὀργιζομένων. Γῆρας διδάσκει πάντ α , καὶ χρόνου τριβή ⋮ Σοφοκλέους.

5 41b Γῆρας καὶ πενί α , δύο τραύματα δυσθεράπευτα ⋮ Ἡρώδου. Γῆρας ὁλόκληρός ἐστι πήρωσις· πάντ’ ἔχει, καὶ πᾶσιν ἐνδεῖ ⋮ Δημοκρίτου.

5 41d Γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται· ἢν δέ ποτ’ ἔλθῃ, μέμφεται· ἔστι δ’ ἀεὶ κρεῖσσον ὀφειλόμενον. Γῆς ἐπέβην γυμνός · γυμνὸς δ’ ὑπὸ γαῖαν ἄπειμι.

5 41e καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος; ⋮ Λουκιανοῦ. Γῆς βάρος : ἐπὶ τῶν ἀχρήστων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

5 41g Γῇ κρύψας ἔχεις : ἐπὶ τῶν φθονούντων. Γίνωσκε τἀνθρώπια μηδ’ ὑπερμέτρως ἄλγει· κακοῖσι γὰρ οὐ σὺ πρόσκεισαι μόνη ⋮ Εὐριπίδου.

5 44b Γλαῦξ γὰρ ἡμῶν πρὶν μάχεσθαι τὸν στρατὸν διέπτατο. Γλυκὺς κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν.

5 52a Γλυκεῖά οἱ καρδίαν ἀτάλλοισα γηροτρόφος ξυναωρὶ ἐλπὶς, ἃ μάλιστα θνατῶν πολύστροφον γνώμαν κυβερνᾷ ⋮ Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.

5 53a ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει, ἡ γλῶσσα σιωπὴν κεκτημένη ⋮ Χάρητος ἡ ὑποθήκη. Γλῶσσα βλάσφημος διανοίας κακῆς ἔλεγχος.

5 53c Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης ⋮ Ἡσιόδου. Γλώσσῃ θρασείᾳ μὴ χρῆσθαι· πολλάκις γὰρ τὸ θράσος καὶ αὐτὴν διώλεσε τὴν κεφαλήν ⋮ Σωκράτους.

5 53e Γλῶσσαν μίαν τοῖς ἀνθρώποις ἡ φύσις δέδωκε, δύο δὲ ὦτα, ἵνα διπλάσιον ὧν λέγομεν παρ’ ἑτέρων ἀκούωμεν ⋮ Ἐπικτήτου. Γλῶσσα δέ ἐστι τότε τοῦ λόγου ὄργανον.

5 53f ἥ τε παρὰ τῶν ἐθνῶν ὁμιλία παρηλλαγμένη καὶ ἡ διάλεκτος. διάλεκτοι δέ εἰσιν ἑλληνικαὶ πέντε· ἰὰς, ἤτοι ἡ τῶν Ἰώνων, ἡ ἀπὸ τοῦ Ἴωνος τοῦ Ἀπόλλωνος καὶ Κρεούσης τῆς Ἐρεχθέως θυγατρὸς τὴν κλῆσιν ἐσχηκυῖα· ἣν ἔγραψεν Ὅμηρος. ἀτθὶς δὲ ἡ τῶν Ἀττικῶν ἀπὸ Ἀτθίδος τῆς Καρνέου θυγατρός· ἣν ἔγραψεν Ἀριστοφάνης. δωρὶς δὲ ἡ τῶν Δωριέων ἀπὸ Δώρου τοῦ Ἕλληνος παιδός· ἣν ἔγραψε Θεόκριτος. αἰολὶς δὲ ἀπὸ Αἰόλου τοῦ Ἕλληνος παιδός· ἣν ἔγραψε Ἀλκμαίων. κοινὴ δέ, ᾗ πάντες χρώμεθα, ἥν, φασί, ἔγραψε Πίνδαρος. Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται. [10]

5 56a Γνῶθι σεαυτὸ ν , ἄριστε, πόθεν καὶ ὅστις ἐτύχθης· ῥεῖα μὲν ὧδε τύχης κάλλεος ἀρχετύπου. Γνῶμαι πλέον κρατοῦσι ν , ἢ σθένος χερῶν ⋮ Σοφοκλέους.

5 56c Γνώμη δὲ κρείσσων ἐστίν, ἢ ῥώμη χερῶν ⋮ Ἀγάθωνος. Γνώμῃ γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ’ οἶκοι, εἴς τ’ αὖ πόλεμον ἰσχύει μέγα.

5 56d σοφὸν γὰρ ἓν βούλημα τὰς πολλὰς χέρας νικᾷ· σὺν ὄχλῳ δ’ ἀμαθία πλέον κακόν ⋮ Εὐριπίδου. Γνώμης γὰρ ἐσθλῆς ἔργα χρηστὰ γίνεται.

5 56f Γνώμων εἶ : ἀντὶ τοῦ κανὼν καὶ ἀκριβὴς σταθμή. Γονέων δὲ ἀμελῶν οὐκ ἄνθρωπος ξύμβουλος νοῦν ἔχων ποτὲ γένοιτ’ ἂν οὐδεὶς οὐδένι ⋮ Πλάτωνος.

5 59a Γουνοῦμαί ς’ ἐλαφηβόλε, ξανθὴ παῖ Διός, ἀγρίων δέσποιν’ Ἄρτεμι θηρῶν ⋮ Ἀνακρέοντος. Γυμνότερος λεβηρίδος : ἐπὶ τῶν πάνυ πτωχῶν.

5 67a Ἀντὶ τοῦ, γυμνότερος ὄφεως δέρματος. Γυμνῷ φυλακὴν ἐπιτάττεις : δήλη.

5 70a Γύης οὐκ ἔνεστι ἐν τούτῳ : ἐπὶ τοῦ ἔν τινι ἀχρήστου. Γυναικὸς ἐσθλῆς ἐπιτυχεῖν οὐ ῥᾴδιον ⋮ Διφίλου.

5 77b Γυναῖκα θάπτειν κρεῖσσόν ἐστιν ἢ γαμεῖν ⋮ Χαιρήμονος. Γυναικὸς οὐδὲν χρῆμ’ ἀνὴρ ληΐζεται ἄμεινον ἐσθλῆς οὐδὲ ῥίγιον κακῆς ⋮ Σιμωνίδου.

5 78a Γύνα ι , γυναιξὶ κόσμον ἡ σιγὴ φέρει ⋮ Σοφοκλέους. Γυναικὶ τέρψις τῶν παρεστώτων κακῶν ἀνὰ στόμ’ ἀεὶ καὶ διὰ γλώσσης ἔχειν ⋮ Εὐριπίδου.

5 78c Γυναῖκες ἐσμὲν ἔσθλ’ ἀμηχανώταται, κακῶν δὲ πάντων τέκτονες σοφώταται ⋮ Εὐριπίδου. Γυνὴ γάρ ἐστι τἄλλα μὲν φόβου πλέα, κακὴ δ’ εἰς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν· ὅταν δ’ ἐς εὐνὴν ἠδικημένη κυρῇ, οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα ⋮ Εὐριπίδου.

5 78e Γυνὴ μὲν ἐξελθοῦσα πατρῴων δόμων οὐ τῶν τεκόντων ἐστίν, ἀλλὰ τοῦ λέχους. τὸ δ’ ἄρσεν ἕστηκ’ ἐν δόμοις ἀεὶ γένος θεῶν πατρῴων καὶ τάφων τιμᾶ ὅρον ⋮ Εὐριπίδου. Γυνὴ πολλὰ ἀνδρὸς ὀξυτέρη πρὸς κακοφραδμοσύνην ⋮ Δημοκρίτου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

5 78g Γυναικὶ δ ’ ὄλβο ς , ἂν πόσιν στέργοντ’ ἔχει ⋮ Μενάνδρου. Γυναικὸς ἀρετὰς ἀξίως ἐπαινέσαι σοφοῦ γένοιτ’ ἂν ἵστορος λόγων ⋮ Εὐριπίδου.

5 78i Γύνα ι , φίλον μὲν φέγγος ἡλίου τόδε, καλὸν δὲ πόντου χεῦμ’ ἰδεῖν εὐήνεμον, γῆ τ’ ἠρινὸν θάλλουσα, πλούσιόν θ’ ὕδωρ, πολλῶν τ’ ἔπαινον ἐστί μοι λέξαι καλῶν ⋮ Εὐριπίδου. Γυναικὸς ὄμμα τοῖς ἀκμάζουσιν βέλος.

5 78l Γυναικὸς αὐδὴ θάνατος νεωτέροις. Γύμναζε τοῖς μὲν πόνοις τὸ σῶμα, τὴν δὲ ψυχὴν γενναίως ὑπομένειν τοὺς κινδύνους ⋮ Ἰσοκράτους.

5 80a Δάνειζέ μοι μαρτυρίαν : ἐπὶ τῶν παρὰ μέρος ἑαυτοὺς ἐπαινούντων. Δάκτυλός ἐστι ποῦς συγκείμενος ἐκ μακρᾶς—καὶ δύο βραχειῶν , οἷον ἥλιος· ἐκλήθη δὲ δάκτυλος, ἀπὸ μεταφορᾶς τῶν ἁρμογῶν, τουτέστιν ἀπὸ τῶν ἁρμονιῶν τοῦ δακτύλου, συγκειμένου ἐκ μείζονος ἁρμογῆς καὶ ἐλαττόνων δύο.

5 80b οὗ ἐναντίος ὁ ἀνάπαιστος, συγκείμενος ἐκ δύο βραχειῶν καὶ μακρᾶς—, οἷον ἡγεμών. Δακτύλῳ δείκνυται : ἐπὶ τῶν ἐπισήμων.

5 86a Δακτυλίῳ δεῖ σε ἑλκυσθῆναι : ἐπὶ τῶν διὰ νόσον ἢ λύπην ἰσχνῶν γενομένων. Δαπανώμενος ἐφ’ ἃ μὴ δεῖ, ὀλίγος ἔσῃ ἐφ’ ἃ δεῖ: Χίλωνος.

5 89a Δειλόν θ ’ ὁ πλοῦτος καὶ φιλόψυχον κακόν: παρόσον οἱ πλούσιοι ἀσφαλίζονται. Δεῖ τοὺς νοῦν ἔχοντας τῶν δυναστευόντων μὴ διὰ τὰς ἀρχάς, ἀλλὰ διὰ τὰς ἀρετὰς θαυμάζεσθαι· ἵνα τῆς τύχης μεταπεσούσης τῶν αὐτῶν ἐγκωμίων ἀξιῶνται ⋮ Ἀριστοτέλους.

5 90b Δεῖ τὸν ἀγαθὸν ἄρχοντα παυόμενον τῆς ἀρχῆς μὴ πλουσιώτερον, ἀλλ’ ἐνδοξότερον γεγονέναι ⋮ Βίαντος ἡ ὑποθήκη. Δεῖ τὸν ἄρχοντα μεμνῆσθαι τριῶν· πρῶτον μὲν, ὅτι ἀνθρώπων ἄρχει· δεύτερον, ὅτι κατὰ νόμους ἄρχει· τρίτον, ὅτι οὐκ ἀεὶ ἄρχει ⋮ Ἀγάθωνος.

5 90d Δεῖ δὲ μήτε ὀργῇ προσομιλεῖν τοῖς ἀρχομένοις, μήτε ἀνεπίπληκτον τοῖς ἁμαρτάνουσι τὴν προαίρεσιν καταλείπειν. τὸ μὲν γὰρ οὐδὲν τῶν μαινομένων διαφέρειν τὸν ἄρχοντα δείκνυσι, τὸ δ’ εὐχέρειαν ἁμαρτημάτων τοῖς ὑπηκόοις ἐντίκτει. Ἀνεξίκακον δὲ ὁμοῦ καὶ μισοπόνηρον σεαυτὸν ἐπιδείκνυε· τῷ μὲν ἠρέμα κολάζειν τὴν ἀνεξικακίαν, τῷ δ’ ἀπεχθάνεσθαι τοῖς κακοῖς τὴν μισοπονηρίαν ἐλέγχων· ἵνα τὸ μὲν φεύγειν τὰ φαῦλα, τὸ δὲ μὴ λίαν ἀπαραμύθητον εἶναι τοῖς ἐπταικόσι τὴν τύχην ἀποδεικνύῃ. Ἀφεκτέον δὲ καὶ σκωμμάτων τοῖς ὡς ἀληθῶς ἄρχουσιν, ἢ καθαιρήσει τις τὸ σεμνὸν τῆς ἀρχῆς γελωτοποιεῖν πειρώμενος. Καὶ λοιδοριῶν καθαρευτέον· ἰδιωτικῆς γὰρ ἀκροχολίας τοῦτο σύμβολον. Νουθετήσεις δὲ καὶ παραινέσεων τὸ διττὸν εἶδος, πῆ μὲν σφοδρῶς καθαπτόμενον, πῆ δὲ προσηνῶς θεραπεῦον, γνωρίσματα ἐμοὶ δοκεῖν ἐπιεικοῦς ἄρχοντος ⋮ Σωπάτρου ἡ ὑποθήκη. Δεινὴ πέφυκεν ἡ συνήθεια κόρον ἀπογεννῆσαι· καὶ φύσιν ἐκ παρ’ ἀλλήλου μεταποιῆσαι ⋮ Θεοκτίστου.

5 90f Δείκνυσιν ἡ μὲν τροπὴ τὸν κατὰ ἀλήθειαν ἀνδρεῖον, ἡ δὲ ἀτυχία τὸν φρόνιμον ⋮ Μοσχίωνος. Δεινὸν ὅταν τις μὴ δοκῶν δοκῇ φρονεῖν ⋮ Κριτίου.

5 90h Δεῖ τοὺς ὀρθῶς πολέμῳ χρωμένους οὐκ ἀκολουθεῖν τοῖς πράγμασιν, ἀλλὰ αὐτοὺς ἔμπροσθεν εἶναι τῶν πραγμάτων ⋮ Δημοσθένους. Δε ῖ , δεῖ χρημάτων · καὶ ἄνευ τούτων οὐδέν ἐστι τῶν δεόντων γενέσθαι ⋮ Τοῦ αὐτοῦ.

5 90k Δεῖ δὲ εἰς τοὐναντίον καὶ τὸ ἄμεινον κατὰ τὴν παροιμίαν ἀποτελευτῆσαι ⋮ Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει ὅταν φίλοι φίλοισι συμβάλως’ ἔριν.

5 90m Δεῖ φιλεῖν ὥσπερ μισήσοντα, μισεῖν δὲ ὥσπερ φιλήσοντα ⋮ Βίαντος. Δειλότερος εἶ τῶν λαγωῶν.

5 92a Δεῖ φίλοις καὶ τοῖς οἰκείοις βοηθεῖν ἄχρι τοῦ μὴ ἐπιορκεῖν ⋮ Λυκούργου. Δεῖ τοὺς γινομένους μέχρι ἂν ζῶσι πονεῖν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

5 92b ἀπραξία γὰρ λιτὸν οὐ τρέφει βίον ⋮ Μενάνδρου. Δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ ζῶντι φθονῆσαι, κατθανόντα δ’ αἰνέσαι ⋮ Μιμνέρμου.

5 92d Δεῖ τὸν ἀγαθὸν ἐπιδείκνυσθαι ἐν μὲν τοῖς λόγοις ἃ φρονεῖ, ἐν δὲ τοῖς ἔργοις ἃ ποιεῖ ⋮ Ὑπερίδου. Δεῖ τὸν ἀγαθὸν ἄνδρα μεμνῆσθαι μὲν τῶν γεγενημένων, πράττειν δὲ τὰ ἐνεστῶτα, περὶ δὲ τῶν μελλόντων ἀσφαλίζεσθαι ⋮ Βίαντος.

5 92f Δεῖ τὸν εὖ φρονοῦντα τὸν λογισμὸν ἀεὶ τῶν ἐπιθυμιῶν κρείττω πειρᾶσθαι ποιεῖν ⋮ Δημοσθένους. Δέον τὰ τέλη τῶν πραγμάτων ἡμᾶς προορᾶν καὶ οὕτως τὴν τούτων ἐγχείρησιν ποιεῖσθαι ⋮ Χαβρίου.

5 93a Δειλότερος εἶ αὐτῆς τῆς δειλίας : ἐπὶ τῶν σφόδρα δειλῶν. Δέσποινα γὰρ γέροντι νυμφίῳ γυνή ⋮ Ἀριστοφάνους.

5 93c Δειλοὶ δ ’ εἰσὶν οὐδὲν οὐδαμοῦ ⋮ Εὐριπίδου. Δεῖ νοσεῖν τὸ μέρος : ἐπὶ τῶν ἀκριβῆ φιλίαν ἐνδεικνυμένων.

5 93e Δέκα ἡ κύων τέκοι , καὶ πάντα λευκά : ἐπὶ τῶν ὁμοίων καὶ εὐτυχῶν. Δέκα τοῦ ὀβολοῦ : καθ’ ὑπερβολὴν, ἐπὶ μηδενὸς ἀξίων.

5 93g Δελφὶς ἐν λουτηρίῳ : ἐπὶ τῶν παρ’ ἀξίαν τι ποιεῖν οὐκ ἀνεχομένων. Δεινὸν τὸ συνιδεῖν τὸ μέλλον ⋮ ἀπόφθεγμα Θάλεω τοῦ Μιλησίου.

5 93i Δεινόν γ ε , τοῖς πλουτοῦσι τοῦτο δ’ ἔμφυτον σκαιοῖσιν εἶναι· τί ποτε τοῦδε ταἴτιον; ἄρ’ ὄλβος αὐτοῖς ὅτι τυφλὸς συνηρεφεῖ, τυφλὰς ἔχουσι τὰς φρένας καὶ τῆς τύχης; ⋮ Εὐριπίδου. Δεῖ κρίναντας φιλεῖν ἢ φιλήσαντας κρινεῖν ⋮ Νικοκλέους.

5 98b Δεῖ τῶν ἑτέρων μέλλοντα ἄρξειν, αὐτὸν ἑαυτοῦ πρῶτον ἄρχειν ⋮ Κάτωνος. Δέδυκε μὲν ἁ σελάνα καὶ Πληϊάδες· μέσαι δὲ νύκτες, παρὰ δ’ ἔρχεθ’ ὥρα.

5 98c ἐγὼ δὲ μόνα καθεύδω ⋮ Σαπφοῦς. Δέξαι με κωμάζοντα, δέξαι, λίσσομαί σε, λίσσομαι ⋮ Ἀλκαίου.

5 99a Δεῦ ρ ’ ἐλθ έ , εἰς οὓς γὰρ τοὺς λόγους εἰπεῖν θέλω ⋮ Εὐριπίδου. Δεῦ ρ ’ ἄγ ε , πειρηθήτω, ἐπεί μ’ ἐχολώσατε λίαν ἢ πὺξ ἠὲ πάλῃ ἢ καὶ ποσίν, οὔτε μεγαίρω.

6 1a Δημόκριτος τὸν φθόνον εἶπεν ἕλκος εἶναι τῆς ἀληθείας. Διακόνιον : οἱ μὲν τὴν τοῦ πλακοῦντος κρηπῖδα· Μενεκλῆς δὲ ἐν τῷ γλωσσοκόμῳ ταῦτα εἴρηκε περὶ αὐτοῦ· Ἀθηναῖοι τῷ Ἀπόλλωνι τὴν καλουμένην εἰρεσιώνην ὅταν ποιῶσι, πλάττοντες λύραν τε καὶ κοτύλην καὶ κλῆμα καὶ ἄλλ’ ἄττα κυκλωτερῆ πέμματα, ταῦτα καλοῦσι διακόνιον· λέγεται δὲ ἐπί τινος ἐγκρατοῦς. [5]

6 2a ὁμοίως δὲ καὶ Ἀμερέας διακόνια τὰ κατὰ τὴν εἰρεσιώνην τῷ Ἀπόλλωνι πλασσόμενα πέμματα· τινὲς δὲ λέγουσι ζωμὸν ποιόν, τινὲς δὲ μᾶζαν. Διόρα καὶ τοὺς τέχνῃ κολακεύοντας καὶ τοὺς μετ’ εὐνοίας θεραπεύοντας, ἵνα μὴ πλεῖον οἱ πονηροὶ τῶν χρηστῶν ἔχωσιν ⋮ Ἰσοκράτους.

6 8a Δίζεσθαι βιοτὴν , ἀρετὴν δ ’ ὅταν ᾖ βίος : παρόσον τὸ ζῆν τῆς ἀρετῆς προτιμότερον. Δίδασκε σαυτὸν ἀποκλίνειν ἐμφρόνως δρασμῶν ἄνευ λόγων τε καὶ τῶν εὐλόγων.

6 8b δρασμοῦ σταγείροις τοῦ πάλαι μεμνημένος. Διὰ δύο προφάσεις τῶν ἀδικημάτων ἄνθρωποι ἀπέχονται, ἢ διὰ φόβον ἢ δι’ αἰσχύνην ⋮ Ὑπερίδου.

6 8d Δίκαια μὲν λέγοντες πολλοὶ ἄδικα ποιοῦσι· δίκαια δὲ πραττόντων οὐδ’ ἂν εἷς ἄδικος εἴη ⋮ Ξενοφῶντος. Δίκαιόν ἐστιν ἐλεεῖν οὐ τοὺς ἀδίκους τῶν ἀνθρώπων, ἀλλὰ τοὺς παρὰ λόγον δυστυχοῦντας ⋮ Δημοσθένους.

6 25a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Διπλοῦν κάππα : ὅτι ἤθελον δηλῶσαί τι κακὸν, δύο κκ ἔγραφον. Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει, δώρων, οἷα δίδωσι, κακῶν, ἕτερος δέ, ἐάων· ᾧ μὲν καμμίξας δώῃ Ζεὺς τερπικέραυνος, ἄλλοτε μέν τε κακῷ ὅγε κύρεται ἄλλοτε δ’ ἐσθλῷ.

6 32a ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκεν· καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει· φοιτᾷ δ’, οὔτε θεοῖσι τετιμένος, οὔτε βροτοῖσιν. Δοίδυκος σκιά : ἐπὶ τοῦ μηδενός.

6 35a Δόξα καὶ πλοῦτος ἄνευ ξυνέσιος οὐκ ἀσφαλέα κτήματα ⁝ Διογένης. Δὸς τὴν χάριν μοι τήνδε καὶ μιμοῦ τρόπους πατρὸς δικαίου.

6 35b Παισὶ γὰρ κλέος τόδε κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγώς εἰς ταὐτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους ⁝ Εὐριπίδου. Δούλων ὅσοι φιλοῦσι δεσποτῶν γένος, πρὸς τῶν ὁμοίων πόλεμον αἱροῦνται μέγαν ⁝ Εὐριπίδου.

6 35d Δούλους γὰρ οὐ καλὸν πεπᾶσθαι κρείσσονας τῶν δεσποτῶν ⁝ Εὐριπίδου. Δούλῳ γὰρ οὐχ οἷόν τε τἀληθῆ λέγειν, εἰ δεσπόταισι μὴ πρέποντα τυγχάνοι ⁝ Εὐριπίδου.

6 35f Δοῦλον γὰρ ἐσθλὸν τοὔνομ’ οὐ διαφθείρει· πολλοὶ δ’ ἀμείνους εἰσὶ τῶν ἐλευθέρων ⁝ Εὐριπίδου. Δουλοῖ γὰρ ἄνδρ α , κἂν θρασύσπλαγχνός τις ᾖ, ὅταν συνειδῇ μητρὸς ἢ πατρὸς κακά.

6 35g μόνον δέ φασι τοῦθ’ ἁμιλλᾶσθαι βίῳ, γνώμην δικαίαν κἀγαθὴν, ὅτ’ ἂν παρῇ. κακοὺς δὲ θνητῶν ἐξέφην’, ὅταν τύχῃ προσθεὶς κάτοπτρον ὥστε παρθένῳ νέᾳ ⁝ Τοῦ αὐτοῦ. Δούλου φρονοῦντος μᾶλλον ἢ φρονεῖν χρεών οὐκ ἔστιν ἄχθος μεῖζον, οὐδὲ δώμασι κτῆσις κακίων οὐδ’ ἀνωφελεστέρα ⁝ Τοῦ αὐτοῦ.

6 35i Δουλεία γὰρ καὶ ἐλευθερία ὑπερβάλλουσα μὲν ἑκατέρα πάγκακον, ἔμμετρος δὲ οὖσα πανάγαθον· μετρία δὲ ἡ θεῷ δουλείας ἄμετρος δὲ ἡ τοῖς ἀνθρώποις. Θεὸς δὲ ἀνθρώποις σώφροσι νόμος, ἄφροσι δὲ ἡδονή ⁝ Πλάτωνος ἡ ὑποθήκη. Δραχμῆς μὲν ηὔλει , τεττάρων δὲ παύεται : ἐπὶ τῶν ἑτοίμως ἀρχομένων ἢ λέγειν ἢ πράττειν, δυσχερῶς δὲ παυομένων.

6 37a Δύο γὰρ ταῦτα ὡσπερεὶ στοιχεῖα τῆς ἀρετῆς εἰσιν, ἐλπίς τε τιμῆς καὶ φόβος τιμωρίας. ἡ μὲν γὰρ ὁρμητικωτέρους πρὸς τὰ κάλλιστα τῶν ἐπιτηδευμάτων. ἡ δὲ ὀκνηροὺς πρὸς τὰ φαῦλα τῶν ἔργων ἀπεργάζεται ⁝ Πλουτάρχου. Δύο δὲ ἀφορμαὶ κινοῦσιν ἀνθρώπους εἰς θεῶν ἐπιμέλειαν, τιμωρίαι δὲ δυσσεβείας καὶ γνώμης εὐσεβοῦς ἀμοιβαί ⁝ Λιβανίου.

6 38a Δύο δὲ ταῦτα δοκεῖ πιστεύεσθαι, δι’ ἃ ψέγουσί τινες τὸν Ἀριστοτέλην, ἓν μὲν ὅτι τὴν Ἑρμοῦ γήμειεν φύσει μὲν ἀδελφήν, θετὴν δὲ θυγατέρα, Πυθιάδα, κολακεύων αὐτόν. Θεόκριτος γοῦν ὁ Χῖος ἐποίησεν ἐπίγραμμα τοιοῦτον· Ἑρμείου εὐνούχου καὶ εὐβούλου τόδε δούλου μνῆμα κενὸν κενόφρων θῆκεν Ἀριστοτέλης. ὃς διὰ τὴν ἀκρατῆ γαστρὸς φύσιν εἵλετο ναίειν ἀντ’ Ἀκαδημίας βρονβόρου ἐν προχοαῖς. ἕτερον δὲ ὅτι ἠχαρίστησε Πλάτωνι· περὶ μὲν οὖν Ἑρμείου καὶ τῆς Ἀριστοτέλους πρὸς αὐτὸν φιλίας ἄλλοι τε πολλοὶ συγγεγράφασι καὶ δὴ καὶ Ἀπελλίκων· οὗ τοῖς βιβλίοις ὁ ἐντυχὼν πεπαύσεται βλασφημῶν αὐτούς. περὶ δὲ γάμου τοῦ Πυθιάδος ἀποχρώντως αὐτὸς ἐν ταῖς πρὸς Ἀντίπατρον ἐπιστολαῖς ἀπολελόγηται· τεθνεῶτος γὰρ Ἑρμείου διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν ἔγημεν αὐτήν, ἄλλως μὲν σώφρονα καὶ ἀγαθὴν οὖσαν, ἀτυχοῦσαν μέντοι διὰ τὰς καταλαβούσας συμφορὰς τὸν ἀδελφὸν αὐτῆς. μετὰ δὲ τὴν Πυθιάδος τῆς Ἑρμείου τελευτὴν Ἀριστοτέλης ἔγημεν Ἑρπυλλίδα Σταγειρῖτιν, ἐξ ἧς υἱὸς αὐτῷ Νικόμαχος ἐγένετο· τοῦτον δέ φασιν ὀρφανὸν τραφέντα παρὰ Θεοφράστῳ καὶ δὴ μειρακίσκον ὄντα ἀποθανεῖν πολέμῳ. Δυνάμενος χαρίζεσθαι, μὴ βράδυνε, ἀλλὰ δίδου, ἐπιστάμενος μὴ εἶναι τὰ πράγματα μόνιμα.

6 38c Δ ύ ’ ἡμέραι γυναικός εἰσιν ἥδισται· ὅταν γαμῇ τις κἀκφέρῃ τεθνηκυῖαν ⁝ Ἱππώνακτος. Δύοιν λεγόντοι ν , θατέρου θυμουμένου ὁ μηντιτείνων τοῖς λόγοις σοφώτερος ⁝ Εὐριπίδου.

6 38e

Δύστηνος ὅστις ζῇ θαλάττιον βίον ⋮ Ἀντιφάνους Ἐφεσίου. Δύσζηλοι γάρ τ’ εἰμὲν ἐπὶ χθονὶ φῦλ’ ἀνθρώπων.

6 39a Δύσκολα τὰ καλ ά . Δῶρον δ ’ ὅ τι δῷ τις ἐπαίνει ⋮ Δὼς ἀγαθ ή , ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.

6 43a ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅς γε κἂν μέγα δώῃ, χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν· ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείηφι πιθήσας, καί τε σμικρὸν ἐὸν, τόγε πάχνωσε φίλον ἦτορ. Ἐὰν χρόνιος ἡ ἀπουσία γένηται καὶ τῆς φιλίας δοκεῖ ἡ ἀπουσία λήθην ποιεῖν ⋮ Ἀριστοτέλης ἐν τοῖς ἠθικοῖς. [5]

6 44b Ἐὰν μείνῃς ἀόργητος ᾔσχυνας τὸν ὑβρίσαντα ⋮ Θεολόγου. Ἐὰν ἴδῃς πονηρὸν εἰς ὕψος αἰρόμενον λαμπρῷ τε πλούτῳ καὶ τύχῃ γαυρούμενον, ὀφρῦν τε μείζω τῆς τύχης καθηρκότα, τούτῳ τάχιον τὴν μεταβολὴν προσδόκα· ἐπαίρεται γὰρ μεῖζον, ἵνα καὶ μεῖζον πέσῃ ⋮ Φιλιστίωνος. [5]

6 45a Ἐγκαθεζόμενοι τρίποδι Μουσῶν: ἐπὶ τῶν λόγους ἀσκούντων. Ἐγὼ σκόροδά σοι λέγω, σὺ δὲ κρόμμυ’ ἀποκρίνῃ.

6 48b Ἔγχος δ ’ οὐχ ἕλετ’ οἶον ἀμύμονος Αἰακίδαο. Ἐγρηγορότες δὲ ἄρχοντες ἐν πόλεσι νύκτωρ, φοβεροὶ μὲν κακοῖς πολεμίοις τε ἅμα καὶ πολίταις.

6 48d Ἐγὼ δέ περιπατῶν γ’ ἀπ’ ἐργαστηρίου ἔψαντος ἑτέρου χύτραν ὑφειλόμην ⋮ Ἀριστοφάνης Ἱππεῦσι. Ἐγὼ γὰρ οὐ δ ’ ἂν ὀρνίθων γάλα ἀντὶ τοῦ βίου λάβοιμ’ ἂν, οὗ με νῦν ἀποστερεῖς.

6 48f Ἐγὼ μὲν οὔπο τ ’ εὐγένειαν ᾔνεσα τὴν προστάταισι χρωμένην ἀναξίως ⋮ Θεοδέκτου. Ἐγὼ μὲν οὖν τὸν νόμον ἐμαυτῷ τοῦτον τίθεμαι δοκιμάζων, ὥσπερ εἴρηται ποεῖν· κρεῖττον γάρ ἐστιν εὖ τεθραμμένην λαβεῖν γυναῖκ’ ἄπροικον ἢ κακῶς μετὰ χρημάτων, τὴν ἐσομένην καὶ ταῦτα μέτοχον τοῦ βίου ⋮ Διοδώρου. [5]

6 48h Ἐγὼ δὲ λυποῦμαι μὲν εἰς ὑπερβολὴν ἐπὶ τοῖς παροῦσιν, ἐν δὲ τῇ λυπῇ φρονῶ. τοῦτό με τηροῦν ἐστι κἄνθρωπον ποιοῦν ⋮ Φιλήμονος. Ἐγκράτεια κρηπὶς εὐσεβείας, ὄρεξις κτήσεως, ἀρχὴ πλεονεξίας· ἐκ γὰρ φιλαργυρίας ἀδικία φύεται ⋮ Κλειτάρχου.

6 48k Ἐγκρατείας μὲν ἴδιον ὑγεία καὶ ἰσχύς, ἀκρασίας δὲ ἀσθένεια καὶ νόσος γειτνιῶσα θανάτῳ ⋮ Φίλωνος. Ἐγὼ δ ὲ , ὅστις ἄνθρωπος ὢν ἀνθρώπῳ τύχην προφέρει, παντελῶς ἀνόητον ἡγοῦμαι.

6 48l Ἧν γὰρ ὁ τὰ βέλτιστα πράττειν νομίζων καὶ ἀρίστην ἔχειν οἰόμενος, οὐκ οἶδεν, εἰ τοιαύτη διαμένει μέχρι τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης λέγειν, ἢ πῶς ὀνειδίζειν ἑτέρῳ; ⋮ Δημοσθένους. Ἔδησεν ἡ φύσι ς , τοῦτο φύσις λύει· καὶ ὃ ἔδησεν ἡ ψυχὴ, τοῦτο αὐτὴ λύει· ἔδησε δὲ φύσις μὲν σῶμα ἐν ψυχῇ, ψυχὴ δὲ αὑτὴν ἐν σώματι· φύσις μὲν ἄρα λύει σῶμα ἐκ ψυχῆς, ψυχὴ δὲ αὑτὴν λύει ἀπὸ σώματος ⋮ Πορφυρίων. [5]

6 49b Ἔθος ἄρχεται μὲν ἀπὸ μικρῶν, ἐπιμελούμενον δὲ τὴν ἰσχὺν μείζω λαμβάνει. Εἰ θνητὸς ε ἶ , βέλτιστε, θνητὰ καὶ φρόνει ⋮ Ἀντιφάνους.

6 50b Εἴη δὲ τρίτον σωτῆρι προσαίνοντας Ὀλυμπίῳ Αἴγιναν κατασπένδειν μελιφθόγγοις ἀοιδαῖς κρατῆρα ⋮ Πινδάρου. Εἰ σῶμα δοῦλον, ἀλλ’ ὁ νοῦς ἐλεύθερος ⋮ Σοφοκλέους.

6 51b Εἰς τὸ μεταπεῖσαι ῥαδίως ἃ βούλεται πιθανοὺς ἔχειν εἴωθεν ἡ κλίνη λόγους ⋮ Φιλίσκου. Εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης.

6 55b Εἷς ἀνὴ ρ , οὐδεὶς ἀνήρ. Εἷς ὑπὲρ πάντων κύβος ἀνεῤῥίπτετο σωμάτων, χρημάτων, δόξης, ἡγεμονίας.

6 55d Εἷς δέ τί που μωρὸς καταλείπεται εὑρέϊ πόντῳ ⋮ ἔπος Ἡρώδου τοῦ σοφιστοῦ. Εἷς γάρ τις ἐστὶ κοίρανος ἀνθρώποις νόμος, καὶ θεοῖσι τοῦτο δόξαν, ὃ σαφῶς λέγω, θῆρσί τε πᾶσι, τέκνα τίκτουσι φιλεῖν.

6 55e τὰ δ’ ἄλλα χωρὶς χρώμεθ’ ἀλλήλων νόμοις ⋮ Εὐριπίδου. Εἷς ὅρο ς , μία βροτοῖσιν ἐστὶν εὐτυχίας ὁδὸς, θυμὸν εἴ τις ἔχων ἀπενθῆ δύναται διατελεῖν βίον ⋮ Βακχυλίδου.

6 59a Εἰ καὶ βασιλεὺς πέφυκας, ὡς θνητὸς ἄκουσον. ἂν μακρὰ πτύῃς, φλεγματίῳ κρατεῖ περισσῷ. ἂν εὐιματῇς, ταῦτα πρὸ σοῦ προβάτιον εἶχεν. ἂν χρυσοφορῇς, τοῦτο τύχης ἐστὶν ἔπαρμα. ἂν πλούσιος ᾖς, τοῦτο χρόνων ἄδηλος ἰσχύς. ἂν ἀλαζονεύῃ, τοῦτ’ ἀνοίας ἐστὶ φρύαγμα. ἂν δὲ σωφρονῇς, τοῦτο δῶρον θεοῦ ὑπάρχει. ἡ σωφροσύνη πάρεστιν, ἐὰν μετρῇς σεαυτόν ⋮ Σωστράτου. Εἰρήνη γεωργὸν κἂν πέτραις τρέφει καλῶς· πόλεμος δὲ κἂν πεδίῳ κακῶς ἔφυ: Μενάνδρου. [5]

6 59c Εἰρήνη ἀργίαν οὐ τρέφει : οἱονεὶ τὸν ἀργὸν καὶ μὴ ἔχοντα πόθεν ζῆσαι· ἢ ἀπὸ ταραχῶν· ἡ γὰρ εἰρήνη στρατιώτην οὐ τρέφει. Εἶτα οὐχ ὑπέρου μοι περιτροπὴ γενήσεται ⋮ Πλάτωνος τοῦ κωμικοῦ.

6 67a Εἰ τὸ μέλλειν δύναταί τι μέριμνα καὶ μελέτω σοί· εἰ δὲ μέλει περὶ σοῦ δαίμονι, σοὶ τί μέλει; Εἰ κερκίδων μὲν ἀνδράσι μέλοι πόνος, γυναιξὶ δ’ ὅπλων ἐμπέσοιεν ἡδοναί.

6 67b ἐκ τῆς ἐπιστήμης γὰρ ἐμπεπτωκότες κεῖνοί τ’ ἂν οὐδὲν εἶεν, οὔθ’ ἡμεῖς ἔτι ⋮ Μενάνδρου. Εἴ τις εἴποι μυχὸν ἢ παιδεραστὴν, τοῦτο ἐκεῖνο· ἐκ τῶν Διὸς δέλτων ὁ μάρτυς ⋮ Λουκιανοῦ.

6 67d Εἰ μὲν ἦν μαθεῖν, ἃ δεῖ παθεῖν, καὶ μὴ παθεῖν, καλὸν ἦν τὸ μαθεῖν· εἰ δὲ δεῖ παθεῖν, ἃ δεῖ μαθεῖν, τί δεῖ μαθεῖν; παθεῖν γὰρ χρή ⋮ Δημοκρίτου. Εἰ βούλει πλούσιόν τινα ποιῆσαι, μὴ χρημάτων προστίθει, τῆς δὲ ἐπιθυμίας ἀφαίρει ⋮ Ἐπικούρου ἡ ὑποθήκη.

6 67f Εἴ τι δὴ κάτω χθονός· εἴη γε μέντοι μηδέν· εἰ γὰρ ἕξομεν κἀκεῖ μερίμνας οὐ θανούμενοι βροτῶν, οὐκ οἶδα ποῖ τις τρέπεται· τὸ γὰρ θανεῖν κακὸν μέγιστον φάρμακον νομίζεται ⋮ Εὐριπίδου. Εἴ τις πλεῖστα τῶν ἀγαθῶν κεκτημένος μετὰ τοῦ λυπεῖσθαι διάγοι τὸν βίον, ἁπάντων ἂν εἴη καὶ τῶν ὄντων καὶ τῶν ἐσομένων ἀθλιώτατος ⋮ Θεοπόμπου.

6 68a Εἰ δέοι τι ἁμαρτεῖν, τὸ ἀδίκως ἀπολῦσαι ὁσιώτερον τοῦ ἀδίκως ἀπολέσαι. Τὸ μὲν γὰρ ἁμάρτημα ἐστί· τὸ δὲ ἀδίκως ἀποκτεῖναι, ἀσέβημα ⋮ Ἀντιφῶντος ἡ ὑποθήκη. Εἰ μὴ τὸ λαβεῖν ἦν οὐδὲ εἷς πονηρὸς ἦν· φιλαργυρία τοῦτ’ ἐστὶν, ὅταν ἀφεὶς σκοπεῖν τὰ δίκαια, τοῦ κέρδους διὰ παντὸς δοῦλος ᾖς ⋮ Μενάνδρου.

6 70b Εἰς ἄρτο ν , ὄψον ἰσχὰς, ἐπιπιεῖν ὕδωρ. φιλοσοφίαν καινὴν γὰρ οὗτος φιλοσοφεῖ· πίνειν διδάσκει καὶ μαθητὰς λαμβάνειν ⋮ Φιλήμονος εἰς Ζήνωνα. Εἰς τὴν Αὐγέου κόπρον ἐμπέπτωκας : ἤγουν ἐβορβορώθης.

6 70d Εἰς λιμένα : ἀπὸ τῶν ἐν λιμένι ἐρεσσόντων, ἔξω δὲ ῥαθυμούντων. Εἰ θέλεις θᾶσσον θανεῖν, πρὸς νῆσον ᾄσσον’ ἐλθέ.

6 70f Εἰς πάγας λύκος : Εἰς ἠκονισμένας μαχαίρας αἴξ : ἐπὶ τῶν εἰς κίνδυνον προῦπτον πιπτόντων. Εἰς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν ⋮ Εὐριπίδου.

6 70h Εἴπερ γὰρ ἀδικεῖν χρὴ, τυραννίδος πέρι κάλλιστον ἀδικεῖν, τἆλλα δ’ εὐσεβεῖν χρεών ⋮ τοῦ αὐτοῦ. Εἴπερ γάρ τε καὶ αὐτίκ’ Ὀλύμπιος οὐκ ἐτέλεσσεν, ἔκ τε καὶ ὀψὲ τελεῖ· σύν τε μεγάλῳ ἀπέτισαν ⋮ Ὁμήρου.

6 70k Εἰ δὲ θεὸν ἀνὴρ ἔλπεταί τι λασέμεν ἔρδων, ἁμαρτάνει ⋮ Πινδάρου. Εἴ μ ’ ἐθέλεις πλύνειν κεφαλῆς ἀμίαντον ἀπ’ ἄκρης, αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης ⋮ Θεόγνιδος.

6 72a Εἷς μυρίους ὄρνιθας ἀετὸς σοβεῖ, λαῶν τε δειλῶν πλῆθος εὖ τραφεὶς ἀνήρ ⋮ Σωσιθέου ἡ γνώμη. Εἰ τοῦ πατρὸς δόξαιμι κρεῖττόν σοι λέγειν, ἐμαυτὸν ἀδικῶ, κοὐκέτ’ εἰμὶ εὐσεβής, ὅτι τὸν κατασπείραντα λυπῶ κοὐ φιλῶ ⋮ Διφίλου.

6 79a Εἰς τὴν ἀμίδα ἀπουρεῖν: ἐπὶ τῶν εἰς τοὺς ἀξίους ὑβριζόντων. Εἰ βούλει καλῶς ἀκούειν, μάθε καλῶς λέγειν.

6 81a μαθὼν δὲ καλῶς λέγειν, πειρῶ καλῶς ποιεῖν, καὶ οὕτω καρπώσῃ τὸ καλῶς ἀκούειν ⋮ Ἐπικτήτου. Εἰσί τινε ς , οἳ τὸν παρόντα μὲν βίον οὐ ζῶσιν, ἀλλὰ παρασκευάζονται πολλῇ σπουδῇ, ὡς ἕτερόν τινα βίον βιωσόμενοι, οὐ τὸν παρόντα· καὶ ἐν τούτῳ παραπολειπόμενος ὁ χρόνος οἴχεται ⋮ Ἀντιφῶντος.

6 84a Εἰ θέρους ὥραις ἠύλεις , χειμῶνος ὤρχου : ἐπὶ τῶν παρὰ καιρὸν πραττόντων τὰ ἑαυτῶν. Ἐκ κάρτα βαιῶν γνωτὸς ἂν γένοι τ ’ ἀνήρ : ἡ παροιμία σαφής.

6 88b Ἐκ πολέμου μὲν γὰρ μᾶλλον εἰρήνη βεβαιοῦται· ἀφ’ ἡσυχίας δὲ μὴ πολεμῆσαι οὐχ ὁμοίως ἀκίνδυνον ⋮ Θουκυδίδου. Ἐκ ποταμοῦ ’πανέρχομαι πάντα φέρουσα καλά ⋮ Ἀνακρέοντος.

6 88d Ἐκ κυμάτων γὰρ αὖθις γαλήνην ὁρῶ ⋮ Εὐριπίδου. Ἕκαστον δεῖ νοῦν ἔχειν καὶ παρασκευάζειν τὴν αὑτοῦ ψυχὴν πάντων τῶν κακῶν καθαράν· ὡς οὐ τιμᾶται θεὸς ὑπ’ ἀνθρώπου φαύλου οὐδὲ θεραπεύεται δαπάναις οὐδὲ τραγῳδίαις τῶν ἁλισκομένων, καθάπερ μοχθηρὸς ἄνθρωπος· ἀλλ’ ἀρετῇ καὶ προαιρέσει τῶν καλῶν ἔργων καὶ δικαίων ⋮ Ζαλεύκου τοῦ νομοθέτου ἡ ὑποθήκη.

6 93b Χρησμός· Ἔκγονε Μιλήτο υ , τρίποδος πέρι Φοῖβον ἐρωτᾶς; τίς σοφίᾳ πάντων πρῶτος; τούτου τρίποδ’ αὐδῶ ⋮ Ἐκ νεφέλης φέρεται χιόνος μένος ἠδὲ χαλάζης· βροντὴ δ’ ἐκ λαμπρῆς γίνεται ἀστεροπῆς.

6 93c ἀνδρῶν δ’ ἐκ μεγάλων πόλις ὄλλυται· εἰς δὲ μονάρχου δῆμος ἄϊδρις ὢν δουλοσύνην ἔπεσεν ⋮ Σόλωνος. Ἐκ τετρημένης κύλικος πίνεις : ἐπὶ τῶν ἀπίστων φίλων.

6 93e Ἐκ πώγωνος σοφοὶ καὶ ἀπὸ πώγωνος σοφισταὶ καὶ ἀπὸ πώγωνος φιλόσοφοι : ἐπὶ τῶν δοκούντων μόνῳ τῷ σχήματι φιλόσοφοι εἶναι καὶ τῇ στολῇ, ὧν καὶ τὸ ἐπίγραμμα καθάπτεται· Καὶ τράγος εὐπώγων εὔστολός ἐστι Πλάτων. Ἐκ πίθου ἀντλεῖς : ἐπὶ τῶν εὐπόρων.

6 93f Θεόκριτος· Ἐκ πίθω ἀντλεῖς · ἐγὼ δ ’ ἔχω οὐ δ ’ ἅλις ὄξο ς . Ἔκρινα τοῦτο δὴ τὸ τοῦ λόγου, παλινδρομῆσαι μᾶλλον ἢ δραμεῖν κακῶς.

6 94a Ἐκ χρυσοῦ ποτηρίου πίνειν φάρμακον καὶ παρὰ φίλου ἀγνώμονος συμβουλίαν λαμβάνειν, ταὐτὸν ἐστί ⋮ Πλουτάρχου. Ἐκτὸς πηλοῦ πόδας ἔχεις : ἐπὶ τῶν ἔξω κινδύνων καθεστηκότων.

6 95b Ἐκ θυμοῦ κλαῦσαι μέγα μέτρια, καί τι προσηνὲς εἰπεῖν, μεμνῆσθαί τ’ οὐκέτ’ ἐόντος ὁμῶς ⋮ Φιλήτα. Ἐκ τῶν ἀέλπτων ἡ χάρις μείζων βροτοῖς φανεῖσα μᾶλλον, ἢ τὸ προσδοκώμενον ⋮ Εὐριπίδου.

6 95d Ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας εἰς πάντας ἀμαθές· τὸ δ’ ἐπικρύπτεσθαι σοφόν ⋮ Εὐριπίδου. Ἐκ διαβολῆς καὶ φθόνου ψεῦδος ἐπ’ ὀλίγου ἰσχύσαν ἀπεμαράνθη ⋮ Θεοφράστου.

6 95f Ἐκ Διὸς ἀρχώμεσθ α , τὸν οὐδέποτ’ ἄνδρες ἐῶσιν ἄῤῥητον· μεσταὶ δὲ Διὸς πᾶσαι μὲν ἀγυιαὶ, πᾶσαι δ’ ἀνθρώπων ἀγοραὶ, μεστὴ δὲ θάλασσα. Ἐκ τοῦ βίου κράτιστόν ἐστιν ὑπεξελθεῖν ὡς ἐκ συμποσίου μήτε διψῶντα μήτε μεθύοντα ⋮ Ἀριστοτέλους.

6 97a Ἐκ τῶν πόνων τοι τἀγάθ’ αὔξεται βροτοῖς· ὁ δ’ ἡδὺς αἰὼν ἡ κακή τ’ ἀτολμία οὔτ’ οἶκον οὔτε βίοτον οὐδὲν ὠφελεῖ ⋮ Εὐριπίδου. Ἐκ δὲ Διὸς βασιλῆες· ὁ δ’ ὄλβιος, ὅντινα Μοῦσαι φιλῶνται· γλυκερὴ οἱ ἀπὸ στόματος ῥέει αὐδή ⋮ Ἡσιόδου.

6 100a Ἐκεῖνον ἀθλιώτατον κρίνω δικαίως, ὃς ἐν μὲν ταῖς συμφοραῖς πλείστους ἔχει τοὺς ἐφηδομένους, ἐν δὲ ταῖς εὐτυχίαις οὐδένα τὸν συνηδόμενον ⋮ Πεισωνιανοῦ. Ἐλπὶς κακοῦ κέρδεος ἀρχὴ ζημίης ⋮ Δημοκρίτου.

7 1b Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖα· οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι ⋮ Θεόγνιδος. Ἐλπὶς ἐν ἀνθρώποισι μούνη θεὸς ἐσθλὴ ἔνεστι ⋮ τοῦ αὐτοῦ.

7 1d

Ἐλπὶς γὰρ ἡ βόσκουσα τοὺς πολλοὺς βροτῶν ⋮ Σοφοκλέους. Ἐλπίδες αἱ τῶν ὀρθὰ φρονεόντων, ἐφικταί· αἱ δὲ τῶν ἀξυνέτων, ἀδύνατοι.

7 5a Ἔλθοι ξένος ὅστις ὀνήσει : Θετταλῶν καταστρέψας τὰς πόλεις ὁ Φίλιππος καὶ τοὺς ξένους πωλήσας εἴρηκε τοῦτο. Ἐλάσσω κακὰ πάσχουσιν οἱ ἄνθρωποι ὑπὸ τῶν ἐχθρῶν ἢ ὑπὸ τῶν φίλων· τοὺς μὲν γὰρ ἐχθροὺς δεδιότες φυλάσσονται, τοῖς δὲ φίλοις ἀνεῳγμένοι εἰσί.

7 7a καὶ γίνονται σφαλεροὶ καὶ εὐεπιβούλευτοι: Δημώνακτος. Ἔλπεσθαι χρὴ πάν τ ʼ ἐπεὶ οὐκ ἔστ' οὐδὲν ἄελπτον· ῥᾴδια πάντα θεῷ τελέσαι, καὶ ἀνήνυτον οὐδέν ⋮ Λίνου.

7 9b Ἐλευθέραν εἶναι προσήκει παντὸς φόβου τὴν ἀρετὴν καὶ ἀδέσποτον. Ἐλεύθερον ἀδύνατον εἶναι τὸν πάθεσι δουλεύοντα καὶ ὑπὸ παθῶν κρατούμενον ⋮ Πυθαγόρου.

7 9d Ἐπίγραμμ α . Ἑλλήνων ἀρχηγὸς, ἐπεὶ στρατὸν ὤλεσε Μήδων, Παυσανίας Φοίβῳ μνῆμ' ἀνέθηκε τόδε. Ἑλοῦ βίον τὸν ἄριστον, ἡδὺν δὲ αὐτὸν ἡ συνήθεια ποιήσει.

7 16a Ἐν παντὶ πράγματι οἱ ἄνθρωποι τούτοις μάλιστα ἐθέλουσι πείθεσθαι, οὓς ἂν ἡγῶνται βελτίστους εἶναι· καὶ γὰρ ἐν νόσῳ ὃν ἂν ἡγῶνται ἰατρικώτατον εἶναι, τούτῳ μάλιστα πείθονται· καὶ ἐν πλοίῳ οἱ πλέοντες, ὃν ἂν κυβερνηκώτατον, καὶ ἐν γεωργίᾳ, ὃν ἂν γεωργικώτατον ⋮ Ξενοφῶντος τοῦ Γρύλλου. Ἐν συλλόγῳ πρῶτος λέγειν μὴ ἐπιτήδευε· μετὰ γὰρ πλείονας λέγων ὄψει μᾶλλον τὰ συμφέροντα ⋮ Κλειτάρχου.

7 16c Ἔνεστι πάντων πρῶτον εἰδέναι τουτί, φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως. καὶ οὗτός γ' ἀνὴρ ἄριστος, αἴτε συμφοραί ἧττον δάκνουσιν· ἀλλὰ ταῦτα γὰρ λέγειν ἐπιστάμεθα, δρᾶν δ' ἀμηχάνως ἔχει ⋮ Εὐριπίδου. Ἐν Διὸς κήποις ἀροῦσθαι μόνον εὐδαίμονας ὄλβους ⋮ Σοφοκλέους.

7 16e Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις, ἥκιστα τούτοις πλησιάζων ἥδεται ⋮ Ἄμφιδος. Ἔνεστι γάρ τις καὶ λόγοισιν ἡδονή, λήθην ὅτ' ἂν ποιῶσι τῶν ὄντων κακῶν ⋮ Σοφοκλέους.

7 16g Ἐν ἀλλοτρίοις παραδείγμασι παίδευε σεαυτόν, καὶ ἀπαθὴς τῶν κακῶν ἔσῃ ⋮ Δημώνακτος. Ἐν εὐτυχίᾳ φίλον εὑρεῖν εὐπορώτατον, ἐν δὲ δυστυχίᾳ πάντων ἀπορώτατον ⋮ Δημοκρίτου.

7 16i Ἐν μὲν τοῖς ἐσόπτροις ὁ τῆς ὄψεως, ἐν δὲ ταῖς ὁμιλίαις ὁ τῆς ψυχῆς χαρακτὴρ βλέπεται. Ἐν μὲν τῷ πλεῖν πείθεσθαι δεῖ τῷ κυβερνήτῃ, ἐν δὲ τῷ ζῆν τῷ λογίζεσθαι δυναμένῳ βέλτιον ⋮ Σωκράτους.

7 16l Ἔνιοι θνητῶν φύσεως διάλυσιν οὐκ εἰδότες ἄνθρωποι, συνειδήσει δὲ τῆς ἐν τῷ βίῳ κακοπραγμοσύνης τὸν τῆς βιοτῆς χρόνον ἐν ταραχαῖς καὶ φόβοις ταλαιπωροῦσι, ψεύδεα περὶ τοῦ μετὰ τὴν τελευτὴν μυθοπλαστέοντες χρόνον ⋮ Δημοκρίτου. Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδρυες ἄνδρες γινώσκουσιν· ἀνδρὸς δ' οἶνον ἔδειξε νόον, καὶ μάλα περ πινυτοῦ· κακότητα δὲ πᾶσαν ἐλέγχει, ὥστε καταισχύνειν καὶ τὸν ἐόντα σοφόν.

7 16m οἰνοβαρέω κεφαλὴν, Ὀνομάκριτε, καί με βιοῦται οἶνος· ἀτὰρ γνώμης οὐκέτ' ἐγὼ ταμίης ἡμετέρης, τὸ δὲ δῶμα περιτρέχει· ἀλλ' ἄγ' ἀναστὰς πειρήσω, μή πως καὶ πόδας οἶνος ἔχῃ καὶ νόον ἐν στήθεσι· δέδοικα δὲ μή τι μάταιον ἔρξω θωρηχθεὶς καὶ μέγ' ὄνειδος ἔχω ⋮ Θεόγνιδος. Ἐν μὲν πολέμῳ πρὸς ἀσφάλειαν σίδηρος χρυσοῦ κρείττων, ἐν δὲ τῷ ζῆν ὁ λόγος τοῦ πλούτου ⋮ Σωκράτους.

7 24a Ἐν ὁδῷ μὴ σχίζε ξύλα : ἀντὶ τοῦ, προχώρει καὶ μὴ αἰτίαν δὸς πρὸ καιροῦ τελευτῆσαι. Ἐν λίθοις ἐμάχοντ ο , λίθον δ ʼ οὐκ ἦν ἀνελέσθα ι .

7 38a Ἐν τῷ πένεσθαι ἥ τ' ἀδοξία ἥ τ' ἀνανδρία ἥ τ' ἀτιμία βίου. Ἔνεσ τ ʼ Ἀπόλλων τῷ χορῷ· τῆς λύρας ἀκούω· καὶ τῶν Ἐρώτων ᾐσθόμην, ἔστι δ' Ἀφροδίτα ⋮ Καλλιμάχου.

7 39a Ἔν τι χερσὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ: παρόσον τῇ μὲν βουλῇ λόγων, τῷ δὲ πολέμῳ δυνάμεως. Ἐν γὰρ ἀμηχανίῃ καὶ καρκίνος ἔμμορε τιμῆς: φανερά.

7 39c Ἐν ἀμούσοις καὶ κόρυδος φθέγγεται. Ἐν ἀχύροις πῦρ ἐγχεῖ : ἐπὶ τοῦ ῥᾳδίως γινομένου.

7 47a Ἐν νυκτὶ λαμπρὸς, ἐν φάει δ’ ἀνωφελής: ἐπὶ τῶν ἀνωφελῶν ἐν οἷς οὐ χρή· ἀπὸ μεταφορᾶς τῆς νυκτερίδος. Ἔνιοι πόλεων μὲν δεσπόζουσι, γυναιξὶ δὲ δουλεύουσι ⋮ Δημοκρίτου.

7 48b Ἐν Πέρσαις μὲν γεννηθείς, οὐκ ἔσπευδες οἰκεῖν τὴν Ἑλλάδα, ἀλλ’ αὐτόθι διάγων εὐτυχεῖν· ἐν πενίᾳ δὲ γεννηθείς, τί σπεύδεις πλουτεῖν, ἀλλ’ οὐκ αὐτόθι μένων εὐτυχεῖν; Μοσχίωνος. Ἐν μὲν ταῖς μέθαις παροινοῦσιν, ἐν δὲ ταῖς ἀτυχίαις παρανοοῦσιν οἱ ἀνόητοι ⋮ Πλουτάρχου.

7 48d Ἐν δὲ τῷ αὔριον ταμιεύεσθαι τὸ μῖσος καὶ μνησικακεῖν καὶ ἕωλόν τινα μνήμην διαφυλάττειν, ἄπαγε, οὔτε θεοῖς πρέπον οὔτε ἄλλως βασιλικόν. Ἕνα γὰρ ἐν πολλοῖς ἴσως εὕροις ἄν, ὅστις ἐστὶ μὴ χείρων πατρός ⋮ Εὐριπίδου.

7 48f Ἐν δ ’ ἰῇ τιμῇ ἠμὲν κακὸς ἠδὲ καὶ ἐσθλός. Ἔνθα δ ’ ἔπειτα πείσεται, ὅσσα οἱ αἶσα κακάκλωθέν τε βαρεῖαι γεινομένῳ νήσαντο λίνῳ, ὅτε μιν τέκε μήτηρ.

7 48h Ἐν πέντε κριτῶν γούνασι κεῖτα ι . Ἐν πέντε δὲ τῶν νομοφυλάκων τοῖς νεωτάτοις εἶναι τὴν κρίσιν ⋮ Πλάτωνος.

7 48k Ἐν Σκώλῳ μή τ ’ αὐτὸν εἶναι , μή θ ’ ἑτέρῳ ἕπεσθαι : ἐπὶ τῶν κακῶν ἀνθρώπων, ταραχώδους ὄντος τοῦ τόπου. Ἐξ ἁπαλῶν ὀνύχων : ἀντὶ τοῦ νηπιόθεν.

7 51b Ἐξ ἡμῶν τέτμηται ὁ ἱμάς: ἐπὶ τῶν ἐξ οἰκείων κακῶν εὖ πασχόντων· φασὶ γὰρ, βοῦν ἰδόντα μάστιγα, τοῦτο εἰπεῖν. Ἔξελε τὴν κόρυζαν τῆς ῥινός : ἐπὶ τῶν ὀργίλων καὶ ἰσχυρογνωμόνων.

7 54b Ἐξ ἀξίου γοῦν ξύλου ἤν τι καὶ πάσχητε, πάσχειν τοῖς σοφοῖς δοκήσεται ⋮ Ἀριστοφάνους. Ἔξωθεν εἰσὶν οἱ δοκοῦντες εὐτυχεῖν τὰ δ’ ἔνδον εἰσὶ πᾶσιν ἀνθρώποις ἴσοι ⋮ Μενάνδρου.

7 57a Ἐξ οὗ τ ’ Εὐρώπην Ἀσίας δίχα πόντος ἔκρινε καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει, οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ’ ἀνδρῶν ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ. οἵδε γὰρ ἐν γαίῃ Μήδων πολλοὺς ὀλέσαντες Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει ἀνδρῶν πληθούσας, μέγα δ’ ἔστενεν Ἀσὶς ὑπ’ αὐτῶν πληγεῖς’ ἀμφοτέραις χερσί, κράτει πολέμου ⋮ Σιμωνίδου ἐλεγεῖα περὶ Ἀθηναίων. Ἔοικεν ὁ τοῦ φιλαργύρου βίος νεκροῦ δείπνῳ· πάντα γὰρ ἔχων τὸν εὐφρανθησόμενον οὐκ ἔχει.

7 59b Ἔοικεν ὁ βίος θεάτρῳ, διὸ πολλάκις χείριστοι τὸν κάλλιστον ἐν αὐτοῖς κατέχουσι τόπον. Ἔοικεν ἡ κολακεία γραπτῇ πανοπλίᾳ· διὸ τέρψιν μὲν ἔχει, χρείαν δὲ οὐδεμίαν παρέχει ⋮ Πλουτάρχου.

7 59d Ἐοίκασιν ἅπαντες ἐν ταῖς ἑτέρων εὐημερίαις ἀκριβέστερον τὰς οἰκείας καταμανθάνειν συμφοράς. Ἔοικεν ἡ ἁμαρτία παραβλήματι κωλύοντι τὴν εὔνοιαν τοῦ θεοῦ ἐν ἡμῖν γενέσθαι ⋮ Θεοτίμου.

7 59f Ἔοικεν ὁ μὲν ἔλεγχος τέλος ἔχειν τὴν διόρθωσιν τοῦ ἁμαρτάνοντος, ὁ δὲ ὀνειδισμὸς ἐπὶ ἀσχημοσύνῃ τοῦ ἐπταικότος γίνεσθαι. Ἔοικεν ἡ τύχη φαύλῳ ἀγωνοθέτῃ· πολλάκις γὰρ καὶ τὸν οὐδὲν πράσσοντα στεφανοῖ ⋮ Πλουτάρχου.

7 59h Ἑβδομάτη δ ’ ἠοῖ τετελεσμένα πάντα τέτυκται. ἑβδομάτη εἰν ἀγαθοῖς, καὶ ἑβδόμη ἐστὶ γενέθλη, ἑβδόμη ἐν πρώτοισι, καὶ ἑβδόμη ἐστὶ τελείη· ἑπτὰ δὲ πάντα τέτυκται ἐν οὐρανῷ ἀστερόεντι, ἐν κύκλοισι φανέντ’ ἐπιτελλομένοις ἐνιαυτοῖς ⋮ Λινοῦ περὶ ἑβδόμης ἡμέρας τῶν μηνῶν. Ἐάσα τ ’ ἤδη γῇ καλυφθῆναι νεκρούς· ὅθεν θ’ ἕκαστον εἰς τὸ σῶμ’ ἀφίκετο, ἐνταῦθ’ ἀπελθεῖν, πνεῦμα μὲν πρὸς αἰθέρα, τὸ σῶμα δ’ εἰς γῆν, οὔ τι γὰρ κεκτήμεθα ἡμέτερον αὐτὸ, πλὴν ἐνοικῆσαι βίον· κἄπειτα τὴν θρέψασαν αὐτὸ δεῖ λαβεῖν ⋮ Μοσχίωνος.

7 59k Ἐγχρονίζον ἔθο ς , φύσεως κραταιότερον ἐστι καὶ μικρὰ μὴ κωλυόμενα ἁμαρτήματα φύεται καὶ ἐπιδίδοται πρὸς μέγεθος συναυξάνοντα ⋮ Φίλωνος. Ἐπίτασις κακίας μὴ μόνον αὐτὸν ἁμαρτάνειν, ἀλλὰ καὶ συνηγορεῖν ἄλλοις ⋮ Διδύμου.

7 60b Ἐπὶ μηδενὶ ἐπαρθῇς ἀλλοτρίῳ προτερήματι· εἰ ὁ ἵππος ἔλεγεν ἐπαιρόμενος, ὅτι καλός εἰμι, ἀνεκτὸν ἦν· σὺ δὲ ὅταν λέγῃς, ὅτι ἵππον καλὸν ἔχω, ἴσθι ὅτι ἐφ' ἵππῳ ἀγαθῷ μέγα φρονεῖς. Τί οὖν ἐστι σόν: χρῆσις φαντασιῶν, ἃς ὅταν κατὰ φύσιν ἔχῃς, τότε ἐπάρθητι· τότε γὰρ ἐπὶ τῷ σῷ πλεονεκτήματι ἐπαρθήσῃ ⋮ Ἐπικτήτου. Ἐπὶ προγόνων εὐγενείᾳ μηδεὶς ἐγκαυχάσθω· πηλὸν γὰρ ἔχουσι πάντες τοῦ γένους προπάτορα· καὶ οἱ ἐν πορφύρᾳ καὶ βύσσῳ τρεφόμενοι καὶ οἱ ἐν πενίας ἀβύσσῳ δαπανώμενοι ⋮ Θεσπίδου. [5]

7 64a Ἐπὶ ῥιπὸς ὡς ἡ παροιμία φησὶ τὸν Αἰγαῖον ἢ Ἰόνιον διαπλεῦσαι θέλοντας ⋮ Λουκιανοῦ. Ἐπὶ θύραις τὴν ὑδρία ν .

7 72a Ἐ π ' ἀμφότερα καθεύδεις τὰ ὦτα : ἐπὶ τῶν μεριμνῶν καὶ φροντίδων ἔξω ὄντων· ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ λαγωοῦ, παρόσον ἐκεῖνος θάτερον οὖς ἔχει ἀνατεταμένον ὡς ἐγρηγορώς. Ἔρχομαι κύων ὄπισθεν ἅρματα λελυμένος : ἐπὶ τῶν ἑκουσίως τοῖς δεινοῖς ἐγκαρτερούντων.

7 88b Ἐρῶ δὲ δῆτα κοὐκ ἐρῶ· καὶ μαίνομαι κοὐ μαίνομαι ⋮ Ἀνακρέοντος. Ἔρχεται πολὺς μὲν Αἰγαῖον διανήξας ἀπ' οἰνηρῆς Χίου ⋮ Καλλιμάχου.

7 88d Ἔργον συναγαγεῖν σωρὸν ἐν πολλῷ χρόνῳ, ἐν ἡμέρᾳ δὲ διαφορῆσαι ῥᾴδιον ⋮ Διφίλου. Ἔργων ἐκ πολλοῦ μελέτη πλεῖον σώζει, ἢ λόγων δι' ὀλίγου καλῶς ῥηθεῖσα παραίνεσις ⋮ Θουκυδίδου.

7 88f Ἔρωτος ὅστις μὴ πεπείραται βροτῶν οὐκ οἶδ' ἀνάγκης θεσμόν· ᾧ πεισθεὶς ἐγώ, οὕτω κρατηθεὶς τάσδ' ἀπεστάλην ὁδούς. οὗτος γὰρ ὁ θεὸς καὶ τὸν ἀσθενῆ σθένειν τίθησι, καὶ τὸν ἄπορον εὑρίσκειν πόρον ⋮ Εὐριπίδου. Ἔρ ῥ ' ἀ π ' ἐμεῖο · βωκόλος ὤν μ' ἐθέλεις κύσαι, τάλαν; οὐ μεμάθηκα ἀγροίκως φιλέειν, ἀλλ' ἀστυκὰ χείλεα θλίβειν· μὴ τύ γε μευ κύσῃς τὸ καλὸν στόμα, μηδ' ἐν ὀνείροις. [5]

7 88h Ἐργατεύοντι δέ τοι μὲν πόνοι τὰ ἀγαθὰ τοῖς ἀνθρώποις, ταὶ δὲ ἡδοναὶ τὰ κακά ⋮ Ἱπποδάμου Πυθαγορίου ἡ γνώμη. Ἔργον εὑρεῖν συγγενῆ πένητος ἐστίν.

7 88i Οὐδεὶς γὰρ ὁμολογεῖ αὐτῷ προσήκειν τὸν βοηθείας τινὸς δεόμενον· αἰτεῖσθαι γὰρ ἅμα τι προσδοκᾷ. Ἔρις ἔριν τίκτουσα προσμνᾶται λόγον : ἐπὶ τῶν ἀδολεσχούντων, ἤτοι ἐπὶ φιλοσοφίᾳ ἐριζόντων.

7 98a Ἔσο καὶ λέων ὅπη χρὴ , καὶ πίθηκος ἐν μέρει : ἐπὶ τοῦ πρὸς τὰ πράγματα μεταβαλλομένου καλῶς. Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.

7 98c Ἔστι γυνὴ λέγουσα χρηστὰ ὑπερβάλλων φόβος. Ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι πολλὰ μάλ'· οὐδ' ἂν νηῦς ἑκατόνζυγος ἄχθος ἄροιτο ⋮ Ἰλιάδος ῡ.

7 98e Ἔστι δίκης ὀφθαλμός, ὃς τὰ πάνθ' ὁρᾷ. Ἔστι τόκος πρὸ τόκοιο· τόκος γε μέν ἐστι καὶ ἄλλος.

8 1a Ἔστω δέ σοι καὶ αἰσχρὸν εἰπεῖν τὸ αἰσχρόν. Ἔστι δὲ ἀνθρώποις καὶ θρήνων χάρις, καὶ ταύτην ἔδωκεν ἡμῖν παραμυθίαν ἡ φύσις ἐν ταῖς τύχαις.

8 1c Ἔστι ποτὲ ἡδονῆς λύπη τιμιωτέρα καὶ κατήφεια πανηγύρεως καὶ γέλωτος οὐ καλοῦ δάκρυον ἐπαινετόν. Ἔτεκές μ ε , μήτη ρ , καὶ γένοιτό σοι τέκνων ὄνησις, ὥσπερ καὶ δίκαιον ἔστι σοι ⋮ Φιλήμονος.

8 5b Ἔσθι ε , δαιμόνιε ξείνω ν , καὶ τέρπεο τοῖσδε, οἷα πάρεστι· θεὸς δὲ τὸ μὲν δώσει, τὸ δ' ἐάσει, ὅττι κεν ᾧ θυμῷ ἐθέλει· δύναται γὰρ ἅπαντα. Ἐς χοιρίδιόν μοι νῦν δάνεισον τρεῖς δραχμάς· δεῖ γὰρ μυηθῆναί με, πρὶν τεθνηκέναι ⋮ Ἀριστοφάνης.

8 5c Οἱ μυούμενοι γὰρ εἰώθεσαν χοῖρον θυσιάζειν. Εὐμένης ὁ βασιλεὺς ἔλεγε τοῖς ἀδελφοῖς διαπαντός, ἐὰν μὲν ὡς βασιλεῖ προσφέρησθε, ὡς ἀδελφοῖς ὑμῖν χρήσομαι· ἐὰν δὲ ὡς ἀδελφῷ, ἐγὼ ὑμῖν ὡς βασιλεύς.

8 6b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Εὐδαιμονίαν δὲ ταύτην εἶναί φαμεν ἀληθινὴν, τὸ τὴν διάνοιαν καὶ τὴν ψυχὴν ἀεὶ ἐν ἡσυχίᾳ καὶ ἱλαρότητι διατρίβειν ⋮ Διογένους. Εὐδαίμων ἐστὶν ὁ θεῷ κατὰ τὸ δυνατὸν ὅμοιος, τέλεος, ἁπλοῦς, καθαρὸς, ἐξηρτημένος ἀπὸ τῆς ἀνθρωπίνης ζωῆς ⋮ Ἰαμβλίχου.

8 6d Εὐδαίμων γε Κόρινθος, ἐγὼ δ’ εἴην Τεγεάτης. Εὐδαίμων μὲν ὁ μηδενὶ μηδὲν ὀφείλων.

8 6e εἶτα δ’ ὁ μὴ γήμας, τὸ τρίτον, ὅστις ἄπαις. Εὐδαίμων εἴην καὶ θεοῖς φίλος ἀθανάτοισι, Κύρν’, ἀρετῆς δ’ ἄλλης οὐδεμιᾶς ἔραμαι ⋮ Θεόγνιδος.

8 6g Εὐκαταφρόνητόν ἐστ ι , Γοργία, πένης, κἂν πάνυ λέγῃ δίκαια· τούτου γὰρ λέγειν ἕνεκα μόνου νομίζεθ’ οὗτος τοῦ λαβεῖν. καὶ συκοφάντης εὐθὺς ὁ τὸ τριβώνιον ἔχων καλεῖται, κἂν ἀδικούμενος τύχῃ ⋮ Μενάνδρου. Εὐσέβειαν δεῖ φυλάσσειν· πολίταις τὰ βέλτιστα συμβουλεύειν· ἡδονῆς κρατεῖν· βίᾳ μηδὲν πράττειν· τὸν τοῦ δήμου ἐχθρὸν πολέμιον νομίζειν· οἰκέτας μεθύοντας μὴ κολάζειν· εἰ δὲ μή, δόξης παροινεῖν ⋮ Λίνδου. [5]

8 6i Εὐπραξίης γὰρ οὐκ ἔστιν ἀνθρώποις οὐδὲ μίη πληθώρη ⋮ Ἡροδότου. Εὔϊε κισσοχαῖ τ ’ ἄναξ χαῖρ’, ἔφασκ’ Ἐκφαντίδης.

8 7a πάντα φορητά, πάντα τολμητὰ τῷδε τῷ χορῷ. πλὴν Ξενίου νόμοισι καὶ Χοινίωνος ⋮ Κρατίνου. Εὐάγωγον γάρ ἐστιν εἰς πίστιν γυνὴ καὶ μάλισθ’ ὅταν τὸ ἀτυχεῖν προσῇ ⋮ Γαΐου.

8 7c Εὖ ποιήσεις σὺ τὰ μέγιστα τὴν πόλιν, εἰ μὴ τοὺς ὀρόφους ὑψώσῃς, ἀλλὰ τὰς ψυχὰς αὐξήσεις. ἄμεινον γὰρ ἐν μικροῖς οἰκήμασι μεγάλας οἰκεῖν ψυχάς, ἢ ἐν μεγάλαις οἰκίαις ταπεινὰ φωλεύειν ἀνδράποδα ⋮ Ἐπικτήτου. Εὑρήσεις δέ με πᾶσιν ἐπ’ ἔργμασιν ὥσπερ ἄπεφθον ἐρυθρὸν ἰδεῖν τριβόμενον βασάνῳ ⋮ Θεόγνιδος.

8 8a Εὐδαιμονίας τοῦ τ ’ ἐστὶν υἱὸς νοῦν ἔχων ⋮ Μενάνδρου. Εὐκαταφρόνητος ὁ θάνατος· ἄπρακτον γὰρ τὸ ποιοῦν, τοῦ πάσχοντος ἀνῃρημένου ⋮ Ἑρμάρχου.

8 11b Εὖ ἴστ ε , ὦ ἄνδρες, ὅτι ὁ φιλότεκνος ἀξιέπαινον πάθος ἐστὶ καὶ οὐκ ἔοικε τῷ φιλοχρημάτῳ ἢ τῷ φιλαργύρῳ. ἐκεῖνα μὲν γὰρ τὰ ὀνόματα εἰκότως παρὰ τοῖς ἀνθρώποις ὀνείδη λέγεται καὶ ἔστιν· οὐ γὰρ ποιεῖ αὐτὰ ἡ φύσις, ἀλλ’ ἡ μοχθηρία ἡ ἡμετέρα. τοῦτο δὲ ἄνωθεν αὐτὴ ἐνδέχεται ἐκ τοῦ οὐρανοῦ καὶ ἐξῆπται ἐκείνης ἀτεχνῶς τῆς χρυσῆς καὶ ἀῤῥήκτου σειρᾶς, ἣν ξυῤῥάπτουσα ἀεὶ καὶ συγκολλῶσα τῷ φθίνοντι τὸ φυόμενον, οὐκ ἀπολισθάνει εἰς τὸ μὴ εἶναι. ὥστε οὐκ αἰσχύνεται ὁ φιλόσοφος τῇ φιλοτεκνίᾳ, ὥσπερ οὐδὲ τῇ φιλοσοφίᾳ τε καὶ φιλολογίᾳ. Εὐγνώμω ν , ὁ μὴ λυπεόμενος ἐφ’ οἷσιν οὐκ ἔχει, ἀλλὰ οὐ χαίρων ἐφ’ οἷσιν ἔχει ⋮ Δημοκρίτου. [5]

8 12a Εὔφημα φώνει · μὴ κακὸν κακῷ διδοὺς ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει ⋮ Σοφοκλέους. Εὐτυχῶν μὴ ἔσο ὑπερήφανος· ἀπορήσας, μὴ ταπεινοῦ· τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίστασο φέρειν ⋮ Φαβωρίνου.

8 12c Εὐπαθοῦσι τοῖς φίλοις οἱ πολλοὶ ἥδονται, δυσπαθοῦσι δὲ, εὐαρίθμητοι συμπάσχουσι, κακῷ τὸ κακὸν παρηγοροῦντες ⋮ Θεοκτίστου. Εὐτέλεια σωφροσύνης ἔκγονος.

8 14a Εὔανδρος εὗρε κνημῖδα καὶ ἀσπίδα. Εὐρύδαμος εὗρε θώρακα πολεμικόν.

8 14c Εὑρήσομεν γὰρ τοὺς φιλοτίμους καὶ μεγαλοψύχους τῶν ἀνδρῶν οὐ μόνον ἀντὶ τῶν τοιούτων ἐπαινεῖσθαι βουλομένους, ἀλλ’ ἀντὶ τοῦ ζῆν ἀποθνήσκειν εὐκλεῶς αἱρουμένους, καὶ μᾶλλον περὶ τῆς δόξης ἢ τοῦ βίου σπουδάζοντας καὶ πάντα ποιοῦντας, ὅπως ἀθάνατον τὴν περὶ αὐτῶν μνήμην καταλείψωσιν ⋮ Ἰσοκράτους. Ἐφόδιον τῆς ἀσιτίας τὴν ἀπεψίαν ἔχουσι ⋮ Πλουτάρχου ἐκ τῶν ὑγιεινῶν ἀποφθεγμάτων. [5]

8 17a Ἐπὶ τῶν φειδωλῶν. Ἔφησέ τίς που τῶν φιλοχρύσων τάδε· θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον.

8 19a

πρὸς ὅν τις ἀντέφησε τῶν φιλοφρόνων· ῥανὶς φρενῶν μοι μᾶλλον ἢ βύθος τύχης. Ἐ φ ' ἑαυτῆς τὰ κέρατα : ἐπὶ τῶν ἐπιβουλὰς ἐκ τῶν οἰκείων ὑφισταμένων· αἶγα γάρ φασι τοξευθεῖσαν καὶ ἰδοῦσαν τὸ τόξον τοῦτο εἰπεῖν.

8 21a Ἐχθροῖς ἀπιστῶν οὔπο τ ' ἂν πάθοις βλάβην. Ἔχειν τε πειρ ῶ , τοῦτο γὰρ τοῦτ' εὐγενὲς καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.

8 24a ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία, κἂν ᾖ σοφός τις, ἥ τ' ἀτιμία βίου ⋮ Εὐριπίδου Ἐρεχθέως. Ἔχεις μὲν ἀλγειν ἀ , οἶδα, πειρᾶσθαι δὲ χρὴ, ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν ⋮ τοῦ αὐτοῦ.

8 24c Ἐχρῆν μὲν ἡμᾶς σύλλογον ποιουμένους τὸν ζῶντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά. τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων ⋮ Σοφοκλέους. Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν, ὅς χ' ἕτερον μὲν κεύθει ἐν φρεσὶν, ἄλλο δὲ εἴπῃ ⋮ Ὁμήρου.

8 24e Ἐχθρὸς τἀληθῆ εἰπὼν τοῦ πρὸς χάριν φίλου ἐστὶ παντὸς αἱρετώτερος ⋮ Εὐσεβίου. Ζαράτας ὁ τοῦ Πυθαγόρου διδάσκαλος τὴν δυάδα ἔλεγε μητέρα, τὸ δὲ ἓν πατέρα· διὸ καὶ βελτίονας εἶναι τῶν ἀριθμῶν, ὅσοι τῇ μονάδι προσεοίκασιν.

8 28a Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλῳ· ἄλλον τε μὲν πλουτεῖν, ἄλλοτε δ' οὐδὲν ἔχειν ⋮ Θεόγνιδος. Ζεὺς δ ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε, μινύθει τε, ὅπως κεν ἐθέλῃσιν· ὁ γὰρ κάρτιστος ἁπάντων ⋮ Ἰλιάδος ῡ.

8 28c Ζεὺς αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν, ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλησιν, ἑκάστῳ. Ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος ⋮ Ἱπποθόου.

8 29b Ζεφυρίη πνείουσ α , τὰ μὲν φύει, ἄλλα δὲ πέσσει· ὄγχνη ἐπ' ὄγχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ, αὐτὰρ ἐπὶ σταφυλῇ σταφυλή, σῦκον δ' ἐπὶ σύκῳ. Ζεῦ πάντων ἀρχὰ, πάντων ἁγήτωρ Ζεῦ, σοὶ πέμπω ταύταν ὕμνων ἀρχάν.

8 30a Ζεὺς κύκνο ς , ταῦρο ς , σάτυρος, χρυσὸς δι' ἔρωτα Λήδης, Εὐρώπης, Ἀντιόπης, Δανάης. Ζεὺς δ ' ἐφορᾷ γονέων ὁπόσοι τίουσι θέμιστας, ἠδ' ὅσοι οὐκ ἀλέγουσιν ἀναιδέα θυμὸν ἔχοντες.

8 30b καὶ τοῖς μὲν πρόφρων τε καὶ ἤπιος ἐσθλὰ δίδωσι, τοῖς δὲ κακὰ φρονέων νεμεσίζεται Εὐμενίδεσσι· δειναὶ γὰρ κατὰ γαῖαν ἐριννύες εἰσὶ τοκήων ⋮ Ὀρφέως. Ζεῦ πάτε ρ , Ἴδηθεν μεδέων κύδιστε, μέγιστε, Ἠέλιός θ', ὃς πάντ' ἐφορᾷς καὶ πάντ' ἐπακούεις, καὶ Ποταμοὶ καὶ Γαῖα, καὶ ὃς ὑπένερθε καμόντας ἀνθρώπους τίνυσθον, ὅτις κ' ἐπίορκον ὀμόσσῃ, ὑμεῖς μάρτυροι ἔστε, φυλάσσετε δ' ὅρκια πιστά ⋮ Ὁμήρου ὅρκος. [5]

8 34a Ζηλοῦτε μὴ τοὺς πλεῖστα κεκτημένους, ἀλλὰ τοὺς μηδὲν κακὸν σφίσιν αὐτοῖς συνειδότας· μετὰ γὰρ τῆς τοιαύτης τύχης ἥδιστα ἄν τις δύναιτο τὸν βίον διαγαγεῖν ⋮ Ἰσοκράτους ἡ ὑποθήκη. Ζημίαν αἱροῦ μᾶλλο ν , ἢ κέρδος αἰσχρόν· τὸ μὲν γὰρ ἅπαξ σε λυπήσει, τὸ δὲ διαπαντός ⋮ Χίλωνος.

8 34c Ζητεῖν δεῖ καὶ ἄνδρα καὶ τέκνα καὶ φίλους, τοὺς κατὰ τὴν ἀπαλλαγὴν τοῦ βίου παραμένοντας ⋮ Πυθαγόρου. Ζῆν κρεῖττόν ἐστιν ἐπὶ στιβάδος κατακείμενον καὶ θαῤῥεῖν, ἢ ταράττεσθαι χρυσῆν ἔχοντα κλίνην ⋮ Τοῦ αὐτοῦ.

8 34e Ζηλωτὸν ἴσως ὁ πλοῦτος · τίμιον μέντοι καὶ θαυμαστὸν ἡ δικαιοσύνη ⋮ Λυκούργου. Ζῆν αἰσχρὸν αἰσχρῶς τοῖς καλῶς πεφυκόσι ⋮ Σοφοκλέους.

8 34g Ζηνὸς δ ' ἐγὼ κεραυνὸν οὐ φρίσσω, ξένε, οὐδ' οἶδ' ὅτι Ζεύς ἐστ' ἐμοῦ κρείσσων θεός. Ζηλωτὸς ὅστις εὐτύχησεν εἰς τέκνα καὶ μὴ 'πισήμους συμφορὰς ὠδύρατο ⋮ Δικαιογένους.

8 34i Ζῆλος γυναικὸς πάντα πυρπολεῖ δόμον. Ζηλωτὸν οὐδὲν καλὸν ἐξ αἰσχροῦ φυόμενον ⋮ Πλάτωνος.

8 34l

Ζηνὶ δ ’ ἄ ρ ’ Ἀτλαντὶς Μαίη τέκε κύδιμον Ἑρμῆν, κήρυκ’ ἀθανάτων, ἱερὸν λέχος εἰσαναβᾶσα. Καδμείη δ’ ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱὸν, μιχθεῖς’ ἐν φιλότητι, Διόνυσον πολυγηθῆ ⋮ Ἡσιόδου Θεογονίᾳ. Ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρησαμένους ⋮ Ἰσοκράτους.

8 34n Ζῆθι ὦ ἄνθρωπ ε , μὴ μόνον ἵνα φάγῃς καὶ πίῃς, ἀλλ’ ἵνα τὸ ζῆν πρὸς τὸ εὖ ζῆν καταχρήσῃ ⋮ Ζήνωνος. Ζυγὸν μὴ ὑπερβαίνειν : ἀντὶ τοῦ· τὸ δίκαιον μὴ παραβαίνειν.

8 34o Ἀνδροκύδου Πυθαγορικοῦ. Ζώνῃ περίβαλε τὴν γαστέρα : ἐπὶ τῶν εἴτε ἰσχνῶν εἴτε παχέων.

8 37a Οἱ γὰρ Ἴβηρες ὅ τι ἂν αἱ γυναῖκες αὐτῶν ἐξυφάνωσιν ἢ νήσωσιν, ἐν τῷ κοινῷ δεικνύουσι· χειροτονητοὶ δέ τινες ἄνδρες κρίνουσι τὰ ἔργα τῶν γυναικῶν καὶ τὴν πλεῖστα ἐργασαμένην προτιμῶσιν. Ἔχουσι δὲ καὶ μέτρον τι ζώνης, ᾗ τὴν γαστέρα ἂν μὴ περιλαβεῖν δυνηθῶσιν, αἰσχρὸν ἡγοῦνται. Ζῶν μὲν ἐπαίνο υ , ἀποθανὼν δὲ μακαρίζου ⋮ Κυψέλλου. [5]

8 37c Ζωὸν ἀτιμάσαντες ἀποφθίμενον ποθέουσι· καί ποθ’ ὑπὲρ τύμβοιο καὶ ἀπνόου εἰδώλοιο ἄστεα νεῖκος ἐπῆλθεν, ἔριν τ’ ἐστήσατο λαός ⋮ Δημητρίου ἐπῶν ποιητοῦ. Ἡ ἀνθρώπων ἴδιος ἰσχὺς ὁ ψυχῆς ἐστι λογισμός, ὃ καὶ ἐλέφαντας ὑπὸ δρυμὸν εἷλε ποδάργαις καὶ ἵππους ἐχαλίνωσε καὶ βόας ἀρότροις ὑπέζευξε καὶ τὰ ἐναέρια κατέσπασε καλάμοις καὶ τὰ βύθια δεδυκότα δικτύοις ἀνήγαγε· τοῦτ’ ἐστὶν ἰσχύς.

8 41a ἡ δ’ ἔτι μείζων, ὅταν γῆς περιόδους καὶ οὐρανοῦ μεγέθη καὶ ἀστέρων κύκλους διώκουσα μὴ κάμῃ· ταῦτ’ ἦν Ἡρακλέους ἄξια· τίς γὰρ οὐκ ἂν βούλοιτο μᾶλλον Ὀδυσσεὺς εἶναι ἢ Κύκλωψ; ⋮ Πλουτάρχου ἐκ τοῦ κατὰ ἰσχύος. Ἡ αὐτάρκεια καθάπερ ὁδὸς βραχεῖα καὶ ἐπιτερπὴς χάριν μὲν ἔχει μεγάλην, πόνον δὲ μικρόν ⋮ Ἐπικτήτου. [5]

8 41c Ἡ βραχυλογία ἐγγύς ἐστι τοῦ σιγᾶν ⋮ Λυκούργου ἀπόφθεγμα. Ἦ βαρὺ φόρημα ἄνθρωπος εὐτυχῶν ἄφρων.

8 41e Ἡβῶν ἐγκρατὴς ἴσθ ι , μέσος δίκαιος, πρεσβύτερος εὔλογος. τελεύτα ἀλύπως ⋮ Σωσιάδου ἐκ τῶν ὑποθηκῶν τῶν ζ’ σοφῶν. Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρῶν.

8 41f πολλῶν δ’ ἐξαίρει θυμὸν ἐς ἀμπλακίην ⋮ Θεόγνιδος. Ἡ Βοιωτία πρότερον ἐκαλεῖτο Ἀονία, ὑπὸ τῶν κατοικούντων αὐτὴν Ἀόνων· μετωνομάσθη δὲ Βοιωτία κατὰ μέν τινας ἀπὸ Βοιωτοῦ τοῦ Ποσειδῶνος καὶ Ἄρνης· καθ’ ἑτέρους δὲ ἀπὸ τῆς ἐλαθείσης κατὰ Πυθόχρησιν ὑπὸ Κάδμου βοός.

8 41h Ἡ γὰρ σιωπὴ τῷ λαλοῦντι σύμμαχος ⋮ Σοφοκλέους ἡ γνώμη. Ἡ γὰρ Κύπρις πέφυκε τῶν σκότων φίλη.

8 41i τὸ φῶς δ’ ἀνάγκην προστίθησι σωφρονεῖν ⋮ Εὐριπίδου. Ἡ γὰρ σπάνις πρόχειρος εἰς τὸ δρᾶν κακά.

8 41l Ἡ γὰρ τῶν ἐρωτικῶν ἀντίβλεψις ὑπόμνησις τοῦ πάσχοντος γίνεται, καὶ ἀναφλέγει τὴν διάνοιαν ἡ θέα καθάπερ ὕλη πυρὶ γιγνομένη ⋮ Χαρικλείας. Ἡγοῦμαι μεγίστην εἶναι τῶν λειτουργιῶν τὸ καθ’ ἡμέραν βίον κόσμιον καὶ σώφρονα παρέχειν ⋮ Ἰσαίου ἡ γνώμη.

8 41n Ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ. Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάγ’ ἔδωκαν ἀντ’ εὐεργεσίης καὶ μεγάλης ἀρετῆς.

8 41o μᾶλλόν τις τάδ’ ἰδὼν καὶ ἐπεσσομένων ἐθελήσει χαίρων ἀμφὶ ξυνοῖς πράγμασι μόχθον ἔχειν ⋮ Ἐπίγραμμα. Ἡδονὴν οὐ πᾶσα ν , ἀλλὰ τὴν ἐπὶ τὸ καλὸν αἱρεῖσθαι δεῖ ⋮ Ἰσοκράτους.

8 42b Ἡδύ γε φίλου λόγος ἐστὶ τοῖς λυπουμένοις ⋮ Μενάνδρου. Ἡ δὲ ἐξουσία παραλαβοῦσα τὴν κακίαν νεῦρα τοῖς πάθεσι προστίθησιν ⋮ Πλουτάρχου ἡ γνώμη.

8 42d Ἡ δ ’ αὐθάδεια ἐρημίας ξύνοικος ⋮ Πλάτωνος ἡ γνώμη. Ἡδονὰς τὰς μετὰ τοὺς πόνους διωκτέον, ἀλλ’ οὐχὶ τὰς πρὸ τῶν πόνων ⋮ Ἀντισθένους ἡ ὑποθήκη.

8 42f Ἡ δ’ Ἄτη σθεναρή τε καὶ ἀρτίπος· οὕνεκα πάσαις πολλὸν ὑπεκπροθέει· φθάνει δέ τε πᾶσαν ἐπ’ αἶσαν. Ἤδη νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν, ὅταν πονηρὸς ἀξίωμ’ ἀνὴρ ἔχῃ γλώσσῃ κατασχὼν δῆμον, οὐδὲν ὢν τὸ πρίν ⋮ Εὐριπίδου.

8 42h Ἥδομαι γὰρ καὶ γέγηθα καὶ πέπορδα καὶ γελῶ μᾶλλον ἢ τὸ γῆρας ἐκδὺς ἐκφυγὼν τὴν ἀσπίδα ⋮ Ἀριστοφάνους Εἰρήνης. Ἡδονῆς γὰρ ὁ μὲν ἑκὼν εἰργόμενος σοφὸς, ὁ δὲ μὴ δεόμενος μακάριος· τὸ δὲ γῆρας εἰς ἀμφότερα ἐπιτήδειον, καὶ γὰρ φρονιμοτέρους τοὺς ἀνθρώπους ἀπεργάζεται καὶ τῶν ἡδέων ἀμελεστέρους ⋮ Φαβωρίνου.

8 42k Ἤδη γὰρ ὁ βίος οὑμὸς ἑσπέραν ἄγει ⋮ Ἀλέξιδος. Ἤδη μάλα πόλ λ ’ ἔπαθον καὶ πόλλ’ ἐμόγησα κύμασι καὶ πολέμῳ· μετὰ καὶ τόδε τοῖσι γενέσθω.

8 42m Ἥδιον οὐδὲν οὐδὲ μουσικώτερόν ἐστιν ἢ δύνασθαι λοιδορούμενον φέρειν. ὁ λοιδορῶν γὰρ ἂν ὁ λοιδορούμενος μὴ προσποιῆται, λοιδορεῖται ὁ λοιδορῶν ⋮ Φιλήμονος ἡ ὑποθήκη. Ἡ ἐν δημοκρατίῃ πενίη τῆς παρὰ τοῖς δυνατοῖσι καλεομένης εὐδαιμονίης τοσοῦτόν ἐστιν αἱρετωτέρη, ὁκόσον ἐλευθερίη δουλείης.

8 42o Ἠέλιον πυρόεντα μύδρον ποτ’ ἔφασκεν ὑπάρχειν καὶ διὰ τοῦτο θανεῖν μέλλεν Ἀναξαγόρας. ἀλλ’ ὁ φίλος Περικλῆς ἐῤῥύσατο τοῦτον· ὁ δ’ αὐτὸν ἐξήγαγεν βιότου μαλθακίῃ σοφίης ⋮ Διογένους Λαερτίου ἐπίγραμμα εἰς Ἀναξαγόραν. Ἡ εὔκαιρος χάρις λιμῷ καθάπερ τροφὴ ἁρμόττουσα τὴν τῆς ψυχῆς ἔνδειαν ἰᾶται ⋮ Ἡρακλείτου. [5]

8 42q Ἠέριον μετὰ φέγγος ἀπείριτον ἀστεροπληθὲς, ἄχραντον πολὺ δῶμα θεοῦ λίπον. ἠδ’ ἐπιβαίνω γαίης ζωοτρόφοιο τεῇς ὑποθημοσύνῃσι, πειθοῖ δ’ ἀῤῥήτων ἐπέων, οἷς δὴ φρένα τέρπειν ἀθανάτων ἔαδε θνητὸς βροτός ⋮ Πυθαγορίου Ῥοδίου. Ἤδη δ ’ ἑπτά τ’ ἔασι καὶ ἑξήκοντ’ ἐνιαυτοί βληστρίζοντ’ ὑμὴν φροντίδ’ ἀν’ Ἑλλάδα γῆν ἐκ γενετῆς δὲ τότ’ ἦσαν ἐείκοσι πέντε πρὸς τοῖς, εἴπερ ἐγὼ περὶ τῶν οἶδα λέγειν ἐτύμως ⋮ Ξενοφάνους Δεξιοῦ. [5]

8 42s Ἦθος φυσικὸν μὴ θετὸν στέργειν φίλει, ἣν μὲν γὰρ ἔσχες, τίς ἐπιπλάστου χάρις; ἣν δ’ αὖ ἁμάρτῃς φύσεως δυσκληρίᾳ, ἤνεγκεν οὐδὲν τὸ πεπλασμένον πλέον. Ἤθελες ἀνθρώποισι λιπεῖν φάτιν, Ἡρακλείδη, ὡς δὴ θανὼν ἐγένου ζωὸς ἅπασι Δράκων.

8 42t ἀλλὰ διεψεύσθης σεσοφισμένε· δὴ γὰρ ὁ μὲν θήρ ἦε δράκων· σὺ δὲ θήρ, οὐ σοφὸς ὤν, ἑάλως ⋮ Διογένους ἐπίγραμμα εἰς Ἡρακλείδην. Ἡ ἰσχὺς τοῦ σώματος μὴ γενέσθω τῆς ψυχῆς ἀσθένεια· ἰσχὺν δὲ ψυχῆς φρόνησιν νόμιζε ⋮ Κλειτάρχου. [5]

8 43a Ἡ κακὴ κρίσις παντὸς κακοῦ αἰτίον ⋮ Ἰαμβλίχου γνώμη. Ἥκεις ὦ Λυκόεργε ἐμὸν ποτὶ πίονα νηὸν, Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ’ ἔχουσι.

8 46a δίζω ἤ σε θεὸν μαντεύσομαι ἠδὲ καὶ ἄνδρα· ἀλλ’ ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι ὦ Λυκόεργε. ἥκεις εὐνομίην διζήμενος· αὐτὰρ ἐγώ τοι δώσω ⋮ Χρησμὸς Ἀπόλλωνος. Ἡ Λάκαινα πρός τινα Ἰωνικὴν δείξασαν αὐτῇ τὸν κόσμον ἀνταπέδειξε τὰ τέκνα εἰποῦσα· ὁ δὲ ἐμὸς κόσμος τοιοῦτος ⋮ Ἐκ τῶν Σερίνου. [5]

8 55a Ἡμίονος κανθήλιος : ἐπὶ τῶν οὐδενὸς ἀξίων. Ἡ μὲν γὰρ τύχη πᾶσι κοινόν· ὁ δὲ ἀργὸς καὶ ἀκρατὴς βίος κακοῖς ἀνδράσιν ἴδιος.

8 55c Ἡ μὲν μάχαιρα τέμνει· ἡ δὲ διαβολὴ χωρίζει φίλους ⋮ Δημοκρίτου. Ἡ μὲν γὰρ φύσις ἄνευ μαθήσεως τυφλόν· ἡ δὲ μάθησις δίχα φύσεως ἐλλιπές· ἡ δὲ ἄσκησις χωρὶς ἀμφοῖν ἀτελές· ὥσπερ δ’ ἐπὶ τῆς γεωργίας πρῶτον μὲν ἀγαθὴν ὑπάρξαι δεῖ τὴν γῆν, εἶτα δὲ φυτουργὸν ἐπιστήμονα, εἶτα τὰ σπέρματα σπουδαῖα, τὸν αὐτὸν τρόπον γῇ μὲν ἔοικεν ἡ φύσις· γεωργῷ δὲ ὁ παιδεύων, σπέρματι δὲ αἱ τῶν λόγων ὑποθῆκαι καὶ τὰ παραγγέλματα ⋮ Πλουτάρχου. [5]

8 57b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἡ Μήδων ἄδικον παύσασ’ ὕβριν ἥδε Σόλωνα τόνδε τεκνοῖ Σάλαμις θεσμοθέτην ἱερόν. Ἢν μὴ πολλῶν ἐπιθυμέῃς, τὰ ὀλίγα τοι πολλὰ δόξει· μικρὰ γὰρ ὄρεξις πενίαν ἰσοσθενῆ πλούτου ποιήσει.

8 58b Ἦν ἄρα τρανῶς αἶνος ἀνθρώποις ὅδε· ὡς τὸν πέλας μὲν νουθετεῖν βραχὺς πόνος, αὐτοὶ δ’ ἐνεγκεῖν ὕβριν ἠδικημένοι, πάντων μέγιστον τῶν ἐν ἀνθρώποις βάρος ⋮ Μοσχίωνος. Ὃν ὁ πατὴρ ἐφίλησεν οὐδεπώποτε, παρ’ ἧς τὸν ἄρτον ἡ κύων οὐ λαμβάνει, μέλαινα δ’ οὕτως, ὥστε καὶ ποιεῖν σκότος.

8 60b Ἡ Νέμεσις παρὰ πόδας βαίνει. Ἡ Νέμεσις προλέγει τῷ πήχεϊ τῷ τε χαλινῷ, μήτ’ ἄμετρόν τι ποιεῖν, μήτ’ ἀχάλινα λέγειν.

8 60d Ἡ Νέμεσις πῆχυν κατέχω· τίνος οὕνεκα; λέξεις; πᾶσιν ἐπαγγέλλω, μηδὲν ὑπὲρ τὸ μέτρον. Ἦ που χαλεπόν ἐστι τὸ ψευδῆ λέγειν ⋮ Μενάνδρου.

8 62b Ἡ πατρὶ ς , ὡς ἔοικε, φίλτατον βροτοῖς, οὐδ’ ὀνομάσαι δυναίμην ἂν ὡς ἔστι φίλον ⋮ Εὐριπίδου. Ἤρατο μὰν καὶ τῆνος, ἐμὶν δοκεῖ, ὀπτῶ ἀλεύρω.

8 64a Ἡράκλειον ἅμμα : ἐπὶ τοῦ δυνατοῦ καὶ ἰσχυροῦ δεσμοῦ λέγεται. Ἥρων · τὸ μαίνεσθαι δ’ ἄρ’ ἦν ἔρως βροτοῖς ⋮ Εὐριπίδου.

8 68b Ἠράμαν μὲν ἐγὼ σέθεν ἄτε πάλαι πόκα ⋮ Σαπφοῦς. Ἠρίστησα μὲν ἰτρίου λεπτοῦ μικρὸν ἀποκλάς.

8 68c οἴνου δ’ ἐξέπιον κάδδον· νῦν δ’ ἁβρῶς ἐρόεσσαν ψάλλω ⋮ Πριάπειον. Ἦσαν κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων παισὶν ἐπ’ Ἠϊόνι Στρυμόνος ἀμφὶ ῥοάς, λιμόν τ’ αἴθωνα κρατερόν τ’ ἐπάγοντες Ἄρηα πρῶτοι δυσμενέων εὗρον ἀμηχανίην.

8 69b Ἢ σιγὴν καίριο ν , ἢ λόγον ὠφέλιμον ⋮ Πυθαγόρου. Ἡ τύχη καθάπερ τοξότης ποτὲ μὲν ἐπιτυγχάνει βάλλουσα ἐφ’ ἡμᾶς ὥσπερ ἐπί τινα σκοπόν, ποτὲ δὲ ἐπὶ τὰ σύνεγγυς παρακείμενα ἡμῖν ⋮ Πλουτάρχου.

8 71b Ἡ ταπεινὴ ψυχὴ τοῖς μὲν εὐημερήμασιν ἐχαυνώθη, ταῖς δὲ συμφοραῖς καθῃρέθη ⋮ Ἐπικούρου. Ἥτε ἰτέα αὐτὴ τὸν καρπὸν ἀποβάλλει πρὶν ἐκθρέψαι· διὸ ὀλεσίκαρπον ὁ ποιητὴς αὐτὴν ὀνομάζει.

8 71c Καὶ μέντοι ἱστόρηται, ὡς μετὰ οἴνου δοθεὶς ὁ ταύτης καρπὸς ἀγόνους ποιεῖ τοὺς πιόντας καὶ κατασβέννυσι τὸ σπέρμα καὶ μαραίνει τὴν γόνιμον ὁρμήν ⋮ Πορφυρίου. Ἡ τῶν περιστάσεων ἀνάγκη τοὺς μὲν φίλους δοκιμάζει, τοὺς δὲ ἐχθροὺς ἐλέγχει ⋮ Ἰσοκράτους. [5]

8 74a Ἡ φύσις τεκνοποιΐας ἕνεκεν οὐκ ἀκολασίας ἐποίησε τὴν σποράν. Ἡ φύσις ἑκάστῳ τοῦ γένους ἐστὶ πατρίς.

8 77a Ἡ Φίλωνος γυνὴ ἐρωτηθεῖσα διὰ τί μόνη τῶν ἄλλων ἐν συνόδῳ οὐ φορεῖ χρυσοῦν κόσμον, ἔφη· Ὅτι αὐτάρκης κόσμος μοι ἐστὶν ἡ τοῦ ἀνδρὸς ἀρετή. Ἡ χάρις πρὸς εὐγνώμονας οὐδέποτε θνήσκει.

8 77c Ἡ χάρις ὥσπερ ἡ σελήνη, ὅταν τελεία γένηται, τότε καλὴ φαίνεται. Ἡ χάρι ς , ὡς οὐδὲν ἄλλο ἐν βίῳ, παρὰ τοῖς πολλοῖς τάχιστα γηράσκει.

8 77e Ἢ χαλκείην μοι μυίην ἢ κύθρην παίζει ἢ ταῖσι μηλολόνθαις ἅμματ’ ἐξάπτων τοῦ κεσκέου μοι τὸν γέροντα λωβῆται ⋮ Ἡρώδου. Ἦχοι θαλάσσης ἀνδρὸς ἄφρονος λόγοι, βρίθοντες ἀκτὰς, οὐ πιαίνοντες χλόας.

8 77g Ἠὼς ὁρῶσα τὰ νυκτὸς ἔργα γελᾷ. Θάρσει · τό τοι δίκαιον ἰσχύει μέγα: Μοσχίωνος.

8 83a Θάρσει · λέγων τἀληθὲς οὐ σφάλλῃ ποτέ ⋮ Εὐριπίδου. Θανόντι κείνῳ συνθανεῖν ἔρως μ’ ἔχει· ἥξεις, ἐπείγου μηδὲν εἰς τὸ μόρσιμον ⋮ Σοφοκλέους.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

8 83c Θάνατος γὰρ ἀνθρώποισι νεικέων τέλος ἔχει· τί γὰρ τοῦδ’ ἐστὶ μεῖζον ἐν βροτοῖς; τίς γὰρ πετραῖον σκόπελον οὐτάζων δορὶ ὀδύναισι δώσει; τίς δ’ ἀτιμάζων νέκυς, εἰ μηδὲν αἰσθάνοιντο τῶν παθημάτων; Εὐριπίδου. Θανόντος ἀνδρὸς πᾶς’ ὄλυτ’ ἀνθρώπων χάρις ⋮ Στησιχόρου.

8 83e Θάρσος τὸ πρὸς τὰ φοβερὰ σὺν λόγῳ, αἴνεε· ἀνδρήϊα γάρ. τὴν δὲ μετὰ ἀλογίης ἐπ’ αὐτὰ ὁρμὴν θράσος νόμιζε καὶ ἀποστύγεε. Θανὼν δ ’ ἂν εἴη μᾶλλον εὐτυχέστερος, ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς, μέγας πόνος ⋮ Εὐριπίδου.

8 83g Θανὼν κα θ ’ ὕπνους φροντίδων ἔσῃ δίχα. Θάρσει μα ῖ’ , ἐπεὶ οὔτι ἄνευ θεοῦ ἥδε γε βουλή.

8 83i Θαρσαλέος γὰρ ἀνὴρ ἐν πᾶσιν ἀμείνων ἔργοισι τελέθει, εἰ καί ποθεν ἄλλοθεν ἔλθοι. Θειότερον εὐφημία κακηγορίας.

8 84b Θεὸς δὲ τοῖς ἀργοῦσιν οὐ παρίσταται: Σοφοκλέους. Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις.

8 89b Θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ. Θεοῦ δὲ πληγὴν οὐχ ὑπερπηδᾷ βροτός.

8 89d Θεοῦ δ ’ ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν. Θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.

8 89f Θεὸς μὲν πάντα καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τἀνθρώπινα κυβερνῶσι ξύμπαντα· ἡμερώτερον μὴν τρίτον συγχωρῆσαι τούτοις ἕπεσθαι δεῖν, τέχνην ⋮ Πλάτωνος. Θέλε μᾶλλον τοὺς συνόντας σοι αἰδεῖσθαί σε ἢ φοβεῖσθαι· αἰδοῖ μὲν γὰρ πρόσεστι σέβας, φόβῳ δὲ μῖσος ⋮ Πυθαγόρου ἡ ὑποθήκη.

8 89h Θεράπευε τὸ φοβεῖσθαι καὶ οὐ φοβηθήσῃ πενίαν ⋮ Ὑψαίου. Θεοῦ διδόντο ς , οὐδὲν ἰσχύει φθόνος· Καὶ μὴ διδόντος, οὐδὲν ἰσχύει κόπος.

8 89k Θεὸς μὲν αἰτίαν φύει βροτοῖς, ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ ⋮ Μενάνδρου. Θεοῦ ἄξιόν σε ποιήσει τὸ μηδὲν ἀνάξιον αὐτοῦ πράττειν.

8 89m Θεὸς μέγιστος τοῖς φρονοῦσιν οἱ γονεῖς ⋮ Δικαιογένους. Θερμὴν ἐπὶ ψυχροῖσι καρδίαν ἔχεις ⋮ Σοφοκλέους Ἀντιγόνῃ.

8 91a Θησεὺς Πειρίθουν : συναποκούεται τὸ φιλεῖ. Ἐπὶ τῶν ἄγαν ἀλλήλους φιλούντων. Θηρεύουσι τοῖς μὲν κυσὶ τοὺς λαγωοὺς οἱ κυνηγοί, τοῖς δὲ ἐπαίνοις τοὺς ἀνοήτους οἱ πολλοί ⋮ Πλουτάρχου.

8 91c Θνητοὶ γεγῶτες μὴ φρονεῖθ’ ὑπὲρ θεούς ⋮ Δημώνακτος. Θνητὸς πεφυκὼς τἀπὶ σοὶ πειρῶ βλέπειν ⋮ Εὐριπίδου.

8 91e Θνητῶν δὲ μηδεὶς μηδέν’ ὄλβιόν ποτε κρίνῃ, πρὶν αὐτὸν εὖ τελευτήσαντ’ ἴδῃ· ἐν ἀσφαλεῖ γὰρ τὸν θανόντ’ ἐπαινέσαι ⋮ Διονυσίου τυράννου. Θνητὸς γὰρ ὢν θνητὰ πείσεσθαι δόκει ⋮ Εὐριπίδου.

8 91g Θνητὸς πεφυκὼς μὴ εὐλαβοῦ τεθνηκέναι ⋮ Διφίλου. Θνητὸς πεφυκὼς τὰ ὀπίσω πειρῶ βλέπειν ⋮ Ἰσιδώρου.

8 91i Θρᾷκες ὄργια οὐκ ἐπίστανται : ἐπὶ τῶν ἀνόμων. Θράσει μὲν οὐδεὶς οὐδέπω πόνῳ δὲ καὶ γενναιότητι καὶ ἐπιεικείᾳ ἀρετὴν ἐπεκτήσατο ⋮ Θεοκρίτου.

8 91l Θρᾷξ εὐγενὴς εἶ πρὸς ἄλ’ ἠγορασμένος ⋮ Θεοκρίτου. Θρέψαι καὶ λυκιδεῖς, θρέψαι κύνας ὥς τυ φάγοντι.

8 92b Θρὶξ ἀνὰ μέσο ν . Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων, ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς ⋮ Εὐριπίδου.

8 96b Θυμῷ μάχεσθαι μὲν χαλεπόν, ἀνδρὸς δὲ τὸ κρατέειν εὐλογίστου. Θυγάτηρ ἐπίγαμος κἂν ὅλως μηθὲν λαλῇ, διὰ τοῦ σιωπᾶν πλεῖστα περὶ αὐτῆς λέγει ⋮ Μενάνδρου.

8 96d Θυμοῦ λόγος ἰατρός. Θύννοι τοὺς ναυαγήσαντας φιλανθρώπως δεχόμενοι φίλους ποιοῦνται· τῶν δὲ ξένων τοὺς μὲν ἑκουσίως ἐλθόντας σφόδρα τιμῶσι, τοὺς δὲ ἀκουσίως κολάζουσιν.

8 96f Θύοι μ ’ ἂν αὐτῷ μᾶλλον ἢ θυμούμενος πρὸς κέντρα λακτίζοιμι θνητὸς ὢν θεῷ ⋮ Εὐριπίδου Βάκχαις. Ἰατρὸν καὶ φίλον ἡγοῦ τοὺς ἐν ἀνάγκαις σπουδαίους ⋮ Ἱέρωνος.

8 99a Ἴαμα γλώττη ς , ἐγκράτεια κοιλίας. Ἴαμβος ἔστι ποῦς συγκείμενος ἐκ βραχείας καὶ μακρᾶς — οἷον Σόλων.

8 99b ἐκλήθη δὲ ἴαμβος τοιούτῳ τρόπῳ· ὅταν ἡ Δημήτηρ περίλυπος ἦν ἐπὶ τῇ ἁρπαγῇ τῆς κόρης, παρεξενώθη τινὶ Κελεῷ καὶ Μετανίρῃ τῇ γαμετῇ αὐτοῦ ἐν τῇ Ἀττικῇ· καὶ ταύτης ἡ θεράπαινα Ἰάμβη λεγομένη παρεμυθεῖτο τὴν Δήμητρα τοιούτῳ ὀρχουμένη μέτρῳ ⋮ Ἢ ἀπὸ Ἰάμβης τινὸς κόρης αἰσχρῶς ὑβρισθείσης καὶ διὰ τοῦτο ἀγχόνῃ χρησαμένης. ἢ ἀπὸ γραός τινος Ἰάμβης καλουμένης, ᾗ πλυνούσῃ συντυχὼν ὁ Ἱππῶναξ καὶ ἁψάμενος τῆς σκάφης, ἐφ’ ἧς ἔπλυνεν ἡ γραῦς τὰ ἔρια, ἤκουσε λεγούσης· Ἄνθρωπ’ ἄπελθε, τὴν σκάφην ἀνατρέπεις. ἢ ὅτι τὸ λοιδορεῖν ἰαμβίζειν ἐλέγετο. Ἰδοὺ χρυσοῦν ἀνδράποδον : Σωκράτης εἶπε τουτὶ, ἰδὼν μειράκιον πλούσιον καὶ ἀπαίδευτον.

8 100b Ἱδρὼς μὲν ὁ ἐκ τῶν γυμνασίων εὐσχημονέστερος· πλοῦτος δὲ ὁ ἐκ τῶν ἰδίων πόνων ⋮ Σωκράτους. Ἰδέα δέ ἐστιν οὖσα ἀσώματος, αὐτὴ μὲν ὑφεστῶσα καὶ καθ’ αὑτήν, εἰκονίζουσα δὲ τὰς ἀμόρφους ὕλας καὶ αἰτία γιγνομένη τῆς τούτων δείξεως.

8 100c Σωκράτης καὶ Πλάτων χωριστὸς τῆς ὕλης δείξεις, τὰς δὲ ἰδέας ἐν τοῖς νοήμασι καὶ ταῖς φαντασίαις τοῦ θεοῦ, τουτέστι τοῦ νοῦ. Ἀριστοτέλης εἴδη μὲν ἀπέλιπε καὶ ἰδέας, οὐ μὴν κεχωρισμένης τῆς ὕλης, ἔξω γεγονὼς ὑπὸ τοῦ θεοῦ. οἱ ἀπὸ Ζήνωνος Στωϊκοὶ ἐννοήματα ἡμέτερα τὰς ἰδέας ⋮ Περὶ ἰδεῶν. ἐκ τῶν Πλουτάρχου. Ἰχθὺς ἀποκείμενος : ὁ ὑπὸ τῶν φειδωλῶν εἰς τὴν αὔριον φυλαττόμενος.

9 2a Πλούταρχος ἐν συμποσίοις· ὦ ἑταῖρε, τὸν ἐκ τῆς παροιμίας ἀποκείμενον ἰχθὺν οὐχ ἕλκομεν εἰς μέσον, μετὰ τῆς Πυθαγορικῆς χοίνικος. Ἱκανότης ἐστὶν ἕξις ἐξικνουμένη πρὸς τὸ οἰκεῖον πέρας ἀνελλιπῶς καὶ ἀπερίττως· μήτηρ δὲ αὐτῆς ἡ δικαιοσύνη, τιθηνὴ δὲ ἡ αὐτάρκεια.

9 6a Ἴνους ἄχη : ἐπὶ τῶν ἄκρως δυστυχησάντων. Ἴομεν εἰς Σαλαμῖνα μαχησόμενοι περὶ νήσου ἱμερτῆς χαλεπόν τ’ αἶσχος ἀπωσάμενοι.

9 7a Ἵππου γῆρας : ἐπὶ τῶν ἐν νεότητι εὐδοκιμησάντων, ἐν γήρᾳ δὲ ἀτιμαζομένων. Ἶσον δὴ κακόν ἐσθ’, ὃς οὐκ ἐθέλοντα νέεσθαι ξεῖνον ἐποτρύνει, καὶ ὃς ἐσύμενον κατερύκει.

9 19a Ἰσχὺς καὶ εὐμορφίη νεότητος ἀγαθὰ, γῆρας δὲ σωφροσύνης ἄνθος ⋮ Δημοκρίτου. Ἱκανὸν ἂν εἴη μοι τό, οὐ φροντὶς Ἱπποκλείδῃ.

9 19c Ἱκανῶς βιώσεις γηροβοσκῶν τοὺς γονεῖς. Ἱερὸν ἀληθῶς ἐστιν ἡ συμβουλία.

9 19e Ἱερὸν χρῆμα σύμβουλος ἀνήρ. Κακοῖς ὁμιλῶν καὐτὸς ἐκβήσῃ κακός.

9 20b Κἀγὼ ’μαυτῷ βαλανεύσω : ἀντὶ τοῦ αὐτὸς ταῖς ἐμαυτοῦ χρείαις ὑπηρετήσω. Καθεύδων γὰρ οὐδεὶς οὐδενὸς ἄξιος ⋮ Πλάτωνος.

9 24a Καὶ σ ύ , φίλο ς , μὴ δηθὰ δόμων ἀπὸ τῆλ’ ἀλάλησο, κτήματά τε προλιπὼν ἄνδρας τ’ ἐν σοῖσι δόμοισι. Καίπερ γέρων ὢ ν , ἀλλὰ τῷ γήρᾳ φιλεῖ χὠ νοῦς ὁμαρτεῖν καὶ τὸ βουλεύειν ἃ δεῖ ⋮ Σοφοκλέους.

9 24c Καιρῷ δουλεύειν καὶ θεὸς ὢν ἔμαθον. Καὶ κηπωρὸν μισῶ τὸν ἐκ ῥιζῶν ἐκτέμνοντα τὰ λάχανα : Ἀλέξανδρος εἶπε τοῦτο πρὸς τὸν συμβουλεύοντα λαμβάνειν τέλη πλείονα ἐκ τῶν πόλεων.

9 59a Καπνὸν φεύγων εἰς πῦρ περιέπεσον. Κάμηλος ἐπιθυμήσασα κεράτων καὶ τὰ ὦτα προσαπώλεσεν : οἱ τὰ ξενὰ ζητοῦντες ἀπαλλοτριοῦνται καὶ τῶν οἰκείων.

9 59c Κάτοπτρον εἴδους χαλκός ἐστιν, οἶνος δὲ νοῦ ⋮ Εὐριπίδου. Καλόν τι καιροῦ παντὸς εἰδέναι μέτρον.

9 66a

Κενὰ τὰ τύχης : πρὸς ἀνεπιτηδείους. Κέρδους ἕκητι κἂν ἐπὶ ῥιπὸς πλέοι ⋮ Ἀριστοφάνους Εἰρήνῃ.

9 76b Καὶ τοῦτο δὴ τὸ τῆς εὐχῆς· ἀποτείνοντε τὼ πόδε καθεύδειν. Κισσὸς με τ ʼ Ἀνθεστήρια : ἐπὶ βραδέων.

9 79a Κιχάνει τοι βραδὺς ὠκύν : ἐπὶ τῶν ἡττωμένων παρὰ τῶν ὑποδεεστέρων. Ὡς καὶ νῦν Ἥφαιστος, ἐὼν βραδὺς, εἷλεν Ἄρηα, ὠκύτατόν περ ἐόντα θεῶν, οἳ Ὄλυμπον ἔχουσι, χωλὸς ἐών, τέχνῃσι· τὸ καὶ μοιχάγρι' ὀφέλλει. Κόγχης ἄξιος : ἀντὶ τοῦ, οὐδενὸς λόγου ἄξιος.

9 86b Κολακευτικώτερος πιθήκω ν . Κουφότερος φελλοῦ : ἐπὶ τῶν εὐμεταβόλων.

10 5a Κράτηρ τρίτος Διὸς σωτῆρος : εἰώθασι γὰρ ἐν συμποσίοις οἱ παλαιοὶ κιρνᾶν κρατῆρα πρῶτον Ὀλυμπίῳ Διΐ, δεύτερον τοῖς ἥρωσι, τὸν δὲ τρίτον Διὸς σωτῆρος· Σοφοκλῆς τοῦτο μαρτυρεῖ ἐν Ναυπλόῳ· Ζεῦ παυσίλυπε καὶ Διὸς σωτηρίου σπονδαὶ τρίτου κρατῆρος. Κρίνει φίλους ὁ καιρός, ὡς χρυσὸν τὸ πῦρ.

10 8b Κρεῖσσον τὸ δοκεῖ ν , κἂν ἀληθείας ἀπῇ. Κύκλωπος δωρεά : ἀντὶ τοῦ ἀνωφελής.

10 30a Κύων τεῦτλα οὐκ ἐσθίε ι . Κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος οὐτιδανοῖο.

10 33b Περὶ τῶν ἐννέα Μουσῶν καὶ ποίας τέχνης ἑκάστη ἐπικρατεῖ καὶ τίς ἀκριβέστερον ἑκάστῃ τέχνῃ ἐχρήσατο. Κλειὼ ἱστορίας· Ἡρόδοτος. Θάλεια κωμῳδίας· Μένανδρος. Μελπομένη τραγῳδίας· Εὐριπίδης. Εὐτέρπη αὐλῶν· Στησίχορος. Τερψιχόρη λύρας· Πίνδαρος. Ἐρατὼ κυμβάλων· Ἑρμῆς· Καλλιόπη ποιήσεως· Ὅμηρος. Οὐρανία ἀστρονομίας· Ἄρατος. Πολυμνία γεωμετρίας· Εὐκλείδης. Λάμβδα ἐπὶ ταῖς ἀσπίσιν οἱ Λακεδαιμόνιοι ἐπέγραφον, ὥσπερ οἱ Μεσήνιοι μ̄ Εὔπολις· Ἐξεπλάγη γὰρ ἰδὼν στίλβοντα τὰ λάμβδ α .

10 43a οὕτως καὶ Θεόπομπος. Λέγεις · ἃ δὲ λέγεις, ἕνεκα τοῦ λαβεῖν λέγεις ⋮ Μένανδρος.

10 52b Λευκώνης ζῆλος : ἐπὶ τῶν ζήλῳ κακῶς ἀποθανόντων. Κυάνιππος τῷ γένει Θεσσαλὸς γήμας Λευκώνην τὰ πολλὰ διὰ φιλοκύνηγον ἐνέργειαν ἐν ὕλαις διέτριβεν. ἡ δὲ νεόνυμφος ὑπολαμβάνουσα συνήθειαν αὐτὸν ἔχειν μεθ' ἑτέρας γυναικός, κατ' ἴχνος ἠκολούθησε τούτῳ. καὶ ἔν τινι κατακρυβεῖσα συνδένδρῳ τὸ μέλλον ἀπεκαραδόκει· τῶν δὲ πέριξ κλάδων αἰφνιδίως σεισθέντων, οἱ στιβευταὶ κύνες, δόξαντες καὶ αὐτήν, ἀλόγου ζῴου δίκην διεσπάραξαν· τῆς δὲ πράξεως αὐτόπτης γενόμενος Κυάνιππος ἑαυτὸν συγκατέσφαξεν ⋮ Σώστρατος ἱστορεῖ ἐν β' Κυνηγετικῶν. Λεσβιάζειν : τὸ τῷ στόματι αἰσχρόν τι ποιεῖν· Θεόπομπος· ἵνα μὴ τὸ παλαιὸν τοῦτο καὶ θρυλλούμενον δι' ἡμετέρων στομάτων εἴπω σόφισμ α , ὅ φασι παῖδας Λεσβίων εὑρεῖ ν .

10 58a Λέριοι κακο ί , οὐχ ὁ μέ ν , ὁ δ ʼ ο ὔ , Πάντες πλὴν Πατροκλέου ς , καὶ Πατροκλέης Λέριος · ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων. Λήθαργος εἶ : ἐπὶ τῶν πραϋνομένων, κρυφίως δὲ δακνόντων.

10 68a Λίαν φιλῶν ἑαυτὸν οὐχ ἕξεις φίλον. Λιμὸν θόριξις λύει : ἤγουν ἡ μέθη.

10 72a Λιπαρώτερος λύχνου καὶ ληκυθίου : ἐπὶ τῶν ὑπερβολικῶν· ὡς τό· Ἀκόνην σιτίζει ς . Λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος.

10 73b Λιβυκὸν ὄρνεον : ἤγουν μέγα. Λόγῳ μ ʼ ἔπεισα ς , φαρμάκῳ σοφωτάτῳ.

10 76b Λόγος μέν ἐστι φάρμακον λύπης μόνος. Λόγος ἰατρὸς τοῦ κατὰ ψυχὴν πάθους.

10 76d Λόγος μέν ἐσ θ ʼ ἀρχαῖος ἀνθρώπων φανείς, ὡς οὐκ ἂν αἰῶν' ἐκμάθοι βροτῶν, πρὶν ἂν θάνοι τις, οὔτ' εἰ χρηστὸς, οὔτ' εἴ τῳ κακός ⋮ Σοφοκλέους Τραχινίαις. Λοιβὰς μὲν πρῶτον ὡραίου γάμου Ἥρας τε· εἶτα· Τὴν δευτέραν κρᾶσιν Ἥρωσιν νέμω.

10 77b Λόγον πα ρ ʼ ἐχθροῦ μήποθ' ἡγήσῃ φίλον. Λουτρὰ ἀνθρωπογναφεῖα : οὕτως ἐκάλουν οἱ παλαιοὶ τὰ λουτρά, ἐπεὶ θᾶττον ἢ προσῆκε ῥακοῖ τὰ σώματα καὶ προγηράσκειν ἀναγκάζει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

10 78b Λόγος πάντα ποιεῖ καὶ διδάσκει καὶ παιδαγωγεῖ. ἵππος ἄγεται χαλινῷ, καὶ ταῦρος ἄγεται ζυγῷ, θηρίον βρόχῳ ἁλίσκεται, ὁ δ’ ἄνθρωπος μεταπλάσσεται λόγῳ, ᾧ θηρία τιθασσεύεται καὶ νηκτὰ δελεάζεται καὶ πτηνὰ κατασύρεται. οὗτος ὡς ἀληθῶς τεχνάζεται ἵππῳ χαλινόν, ταύρῳ ζυγόν, θηρίῳ βρόχον, κάλαμον ἰχθύϊ, πάγην ὀρνέῳ, οὗτος πολιτεύεται καὶ γεωργεῖ, καὶ τὰ ἄλλα δημιουργεῖ· ἐν μὲν γαῖαν ἔτευ ξ’ , ἐν δ ’ οὐρανὸν ἠδὲ θάλασσα ν , ἐν δὲ τὰ τείρεα πάντα τά τ ’ οὐρανὸς ἐστεφάνωτα ι . Λυπηρότερον σταλαγμοῦ : διὰ τὴν ἐν τῷ συνεχῶς καταστάζεσθαι δυσχέρειαν λέγεται. [5]

10 96a Λύε λέσχας : Πλάτων φησὶ λέγειν, ὁπόταν περὶ τὰ ἔργα ἐξήρχοντο. Λύκος ποιμήν : ἐπὶ τῶν μετὰ σχήματος φιλικοῦ ἐπιβουλευόντων τισί.

10 98a Λύκος ἀετὸν φεύγει : ἐπὶ τῶν μὴ δυναμένων ἐκφυγεῖν τὸν κίνδυνον. Λυδία ἐλέγξει τὸ κίβδηλον : ἤγουν ἡ λίθος· ἐπὶ τῶν δοκιμαζομένων, εἰ εἰσὶν ἀληθῶς οἷοι λέγουσιν εἶναι.

11 3a Μακαρεὺ ς , ὁ τοῦ Αἰόλου υἱός, ἔφθειρε τὴν αὐτοῦ ἀδελφὴν Κανάκην. Μαχαίρᾳ μὴ πῦρ σκαλεύειν : τουτέστι, τὸν θυμούμενον λόγοις μὴ ἐρεθίζειν.

11 7a Μακραὶ τυράννων χεῖρες : ἐπὶ τῶν ἄγαν δυναμένων. Μάστιξ ἐλαύνει : ἐπὶ τοῦ ῥᾳδίου.

11 8b Μασχάλην αἴρειν : ἀντὶ τοῦ κωθωνίζεσθαι καὶ πίνειν. Μάρτυς ἐκ Διὸς δέλτων : ἤγουν ἀναμφίβολος καὶ πιστός.

11 10a Μέλει μοι τῶν τοιούτων οὐδὲν ἧττον τῶν ἐν τοῖς τέλμασι βατράχων. Μέγιστα ἀδικήματα εἶναι φησὶ Λυκοῦργος, θεῶν καταφρόνησις, γονέων κάκωσις ἑκούσιος καὶ ἀρχόντων καὶ νόμων ὀλιγωρία καὶ ἑκούσιος ἀτιμία δικαιοσύνης.

11 15a δικαιότατον δὲ εἶναι καὶ ὁσιώτατον τὸν ταῦτα τιμῶντα καὶ ἐμφανίζοντα πρὸς τὰς πολίτας καὶ ἄρχοντας κατὰ τῶν καταφρονούντων. Μεμνῆσθαι θεῶν ὡς ὄντων καὶ δίκας ἐπιπεμπόντων. [5]

11 17a καὶ τίθεσθαι πρὸ ὀμμάτων τὸν καιρὸν τούτων, ἐν ᾧ γίνεται τὸ τέλος ἑκάστου τῆς ἀπαλλαγῆς τοῦ ζῆν ⋮ Ζαλεύκου τοῦ νομοθέτου ὑποθήκη. Μεμψιμοιρία ἐστὶ λάθριος ψόγος.

11 17c Μέμψις ἐστὶ ψόγος ὀλιγωρούντων. ἢ ἀμελούντων. Μετὰ τῆς ἰσχύος τὴν πραότητα σῶζε, ἵνα μὴ φοβερός, ἀλλ’ αἰδοῦς ἄξιος φαίνῃ τοῖς ἐντυγχάνουσι ⋮ Φίλωνος ἡ ὑποθήκη.

11 31a Μέχρι βωμοῦ φίλος εἰμί. Μεταβολὴ πάντων γλυκύ.

11 31c Μέτρα φυλάσσεσθαι · καιρὸς δ’ ἐπὶ πᾶσιν ἄριστος. Μήτε κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον : ἀντὶ τοῦ μὴ προτίμα τοὺς φίλους τῶν ἀδελφῶν.

11 34b Μηδὲ ὑπὲρ τὸν πόδα ἔστω τὸ ὑπόδημα : ἤγουν μηδὲν ἔξω τοῦ μέτρου ποίει καὶ τῆς δυνάμεως. Μηδέ μοι αὐτὴ ὄρνις κακὸς ἐνὶ μεγάροισι πέλευ.

11 34d Μηδὲ πολύξεινον μηδ’ ἄξεινον καλέεσθαι. Μη δ ’ Ἡρακλῆς πρὸς δύο.

11 36a Μὴ μνησικακήσῃς εἰ σὺ Φυλὴν κατέλαβες. Μὴ μεγάλα λέγε : τοὺς μεγαλαυχοῦντας ἕλκει πρὸς μετριότητα ἡ παροιμία· ὡς καὶ Θέογνις· μήποτε Κύρν’ ἀγορᾶσθαι ἔπος μέγα· οἶδε γὰρ οὐδείς ἀνθρώπων, ὅτι νὺξ χἠμέρα ἀνδρὶ τελεῖ.

11 50a Μήτις ἔτι πρόφρων ἀγανὸς καὶ ἤπιος ἔστω σκηπτοῦχος βασιλεύς, μηδὲ φρεσὶν αἴσιμα εἰδώς, ἀλλ’ αἰεὶ χαλεπός τ’ εἴη καὶ αἴσυλα ῥέζοι. Μη δ ’ ἕτερον κεύθῃς κραδίῃ νόον, ἄλλ’ ἀγορεύων· μηδ’ ὡς πετροφυὴς πολύπους κατὰ χώραν ἀμείβου ⋮ Φωκυλίδου.

11 69a Μιᾶς γὰρ χειρὸς ἀσθενὴς μάχη : ὁμοία τῇ· Εἷς ἀνὴρ οὐδεὶς ἀνή ρ . Μισῶ πονηρὸν χρηστὸν ὅτ’ εἴπῃ λόγον.

11 71b Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα, χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις. Μισῶ μνήμονα συμπότην.

11 71d

Μισῶ σοφιστὴν ὅστις οὐχ αὑτῷ σοφός. Μόλις τὸ πρᾶγ μ ’ ἔγνωσαν ἀναμασσώμενοι ⋮ Ἀριστοφάνης ἐν Σφιγξί.

11 77b Μουσικὴν δ ’ ἔρως διδάσκει, κἂν ἄμουσος ᾖ τὸ πρίν. Μῦς γαλῆν ἐλέγξει τὴν τέως νύμφην : ἐπὶ τῶν μεγάλα ἐπαγγελλομένων καὶ τῷ χρόνῳ ἐξελεγχομένων.

11 89a ὁμοία ἐστὶ τῇ· Ὑπὸ τῇ λεοντῇ πάλιν ὄνος ὀγκήσεται · καὶ τῇ· Φωνήσας ὁ κόραξ πονήσετα ι . Μωρὰ μωρὸς λέγε ι .

11 94a Μῶσά γ ε , Καλλιόπ α , θύγατερ Διὸς, ἄρχ’ ἐρατῶν ἐπέων· ἐπὶ δ’ ἵμερον ὕμνῳ καὶ χαρίεντα τίθει χορόν: Ἀλκμᾶνος. Ναῦς ἡ μεγίστη κρεῖσσον ἢ μικρὸν σκάφος ⋮ Εὐριπίδου.

11 96b Ναῦν τοι μ ί ’ ἄγκυ ρ ’ οὐδαμῶς σώζειν φιλεῖ ⋮ Εὐριπίδου ἡ γνώμη. Ναὶ μὴν Ἐμπεδοκλέα θανεῖν λόγος ὥς ποθ’ ἁμάξης ἔκπεσε καὶ μηρὸν κλάσσατο δεξιτερόν· εἰ δὲ πυρὸς κρατῆρας ἐσήλατο καὶ πίε τὸ ζῆν, πῶς ἂν ἔτ’ ἐν Μεγάροις δείκνυτο τοῦδε τάφος; Διογένους Λαερτίου ἐπίγραμμα εἰς Ἐμπεδοκλέα. [5]

11 98a Νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί. οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ, ἀλλ’ οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν ⋮ Εὐριπίδου. Νεότης μ ’ ἐπῆρε καὶ σθένος τοῦ νοῦ πλέον ⋮ τοῦ αὐτοῦ.

11 98c Νεανίας τε καὶ πένης σοφός θ’ ἅμα, ταῦτ’ εἰς ἓν ἐλθόντ’ ἄξι’ ἐνθυμήσεως ⋮ Εὐριπίδου. Νεῶν γὰρ ἀνδρῶν πολλὰ κάμπτονται φρένες ⋮ Ἀγάθωνος.

11 98e Νέος φιλοδοξῶν πρώϊμος πονηρία: ἡ Μητροδώρου γνώμη. Νέοις δὲ ζηλωτέον τοὺς γέροντας κατὰ Σιμωνίδην, ἄθηλος ἵππῳ πῶλος ὣν ἅμα τρέχει ν .

11 98f καθάπερ φησὶν ὁ Πλάτων ἐπὶ τοῦ μιγνυμένου πρὸς ὕδωρ ἀκράτου, μαινόμενον θεὸν ἑτέρῳ θεῷ νήφοντι σωφρονίζεσθαι. Νεκρὸς οὐ δάκνει : διότι οἱ τοὺς ἐχθροὺς φθείραντες οὐ λυποῦνται.

12 4b Νεκροὺς ὁρῶν νέκρωσιν ἕξεις πραγμάτων. Νέστορα δ ’ ἐκ χειρῶν φύγεν ἡνία σιγαλόεντα.

12 8a Νήπιο ς , ὃς πατέρα κτείνας παῖδας ἐγκαταλίποι. Νὴ τὴν Ἀθηνᾶ ν , μακάριον ἡ χρηστότης πρὸς πάντα, καὶ θαυμαστὸν ἐφόδιον τῷ βίῳ ⋮ Μενάνδρου.

12 9a Νῆφε καὶ μέμνησο ἀπιστεῖν ⋮ Ἐπιχάρμου. Νήπιος εἰς ξεῖ ν ’ ἢ τηλόθεν εἰλήλουθας, ὅς με θεοὺς κέλεαι ἢ δειδίμεν ἢ ἀλέασθαι.

12 9c Νήπιοι οὐ δ ’ ἴσασιν ὅσῳ πλέον ἥμισυ παντός : Πλάτων ἐν τοῖς Νόμοις ὥσπερ ἐξηγούμενος τοῦτο φησίν· ἆρα οὐκ ἀγνοήσαντες τὸν Ἡσίοδον ὀρθότατα λέγοντα ὡς τὸ ἥμισυ τοῦ παντὸς πολλάκις ἔστι πλέον; ὁπόταν ᾖ τὸ μὲν ὅλον λαμβάνειν ζημιῶδες, τὸ δὲ ἥμισυ μέτριον, τοῦ ἀμέτρου πλέον ἡγήσατο, ἄμεινον ὂν τοῦ χείρονος. Νήπιος οὐκ ἐνόησε ν , ὅσῳ πλέον ἥμισυ παντός. [5]

12 9e Νίκη δ ’ ἐπαμείβεται ἄνδρας. Νόμος καὶ χῶρα : δήλη.

12 14b Νόμοις ἕπεσθαι τοῖς ἐγχωρίοις καλόν ⋮ Μενάνδρου. Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν ⋮ Σοφοκλέους.

12 14d Νόμος βούλεται μὲν εὐεργετεῖν βίον ἀνθρώπων, οὐ δύναται δέ, ὅταν αὐτοὶ βούλωνται πάσχειν. ἐν τοῖς γὰρ πειθομένοις ἐνδείκνυται τὴν ἰδίαν ἀρετήν ⋮ Ἰσοκράτους. Νόμιζε μηδὲν τῶν ἀνθρωπίνων βέβαιον· οὕτω γὰρ οὔτ’ εὐτυχῶν ἔσῃ περιχαρὴς, οὔτε δυστυχῶν περίλυπος ⋮ τοῦ αὐτοῦ.

12 14f Νόσος φιλίας ἡ κολακεία. Νοσοῦντος δίαιτα καὶ ἄφρονος εὐτυχία, δυσάρεστον ⋮ Πλουτάρχου.

12 14h Νόσον πολὺ κρεῖττον ἐστίν, ἢ λύπην φέρειν ⋮ Φιλήμονος. Νόσος δειλοῖσιν ἑορτή · οὐ γὰρ ἐκπορεύονται ἐπὶ πρᾶξιν ⋮ Ἀντιφάνους.

12 14k

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Νουθετήσεις δὲ καὶ παραινέσεων τὸ διττὸν εἶδος, πῆ μὲν σφοδρῶς καθαπτόμενον, πῆ δὲ προσηνῶς θεραπεῦον, γνωρίσματα ἐμοὶ δοκεῖν ἐπιεικοῦς ἄρχοντος ⋮ Σωπάτρου. Νὺξ ὑγρά : ἐπὶ τῶν συμβαινόντων χαλεπῶν.

12 16a Νύκτα δασεῖαν : τὴν χειμερινὴν φασίν. Νῦν μὲν δαινύμενοι τερπώμεθα μηδὲ βοητὺς ἔστω.

12 18b Νῦν εὖ πεπλόηκα ὅτε νεναυάγηκα. Νῦν σωθείη ν , ἵ ν ’ ᾖ μοι δίδαγμα τοῦ λοιποῦ χρόνου.

12 19a Νόμιζε δεῖ τὴν εὐδαιμονίαν οὐκ ἐν τῷ πολλὰ κεκτῆσθαι γίγνεσθαι, μᾶλλον δὲ ἐν τῷ τῇ ψυχῇ εὖ διακεῖσθαι. καὶ γὰρ τὸ σῶμα αὐτὸ τὸ λαμπρᾷ ἐσθῆτι κεκοσμημένον φαίη τις ἂν εἶναι μακάριον, ἀλλὰ τὸ τὴν ὑγείαν ἔχον, καὶ σπουδαίως διακείμενον, κἂν μηδὲν τῶν προειρημένων αὐτῷ παρῇ· τὸν αὐτὸν δὲ τρόπον καὶ ψυχὴ ἐὰν ᾖ πεπαιδευμένη, τὴν τοιαύτην καὶ τὸν τοιοῦτον ἄνθρωπον εὐδαίμονα προσαγορευτέον ἐστίν· οὐκ ἂν τοῖς ἐκτὸς ᾖ λαμπρῶς κεκοσμημένος, αὐτὸς μηδενὸς ἄξιος. Οὔτε γὰρ ἵππον ἐὰν ψέλλια χρυσᾶ καὶ σκευὴν ἔχῃ πολυτελῆ φαῦλος ὢν τὸν τοιοῦτον ἄξιόν τινος νομίζομεν εἶναι· ἀλλ’ ὃς ἂν διακείμενος σπουδαίως, τοῦτον μᾶλλον ἐπαινοῦμεν. Ὥσπερ γὰρ εἴ τις τῶν οἰκετῶν αὐτοῦ χείρων εἴη καταγέλαστος ἂν γένοιτο· τὸν αὐτὸν τρόπον οἷς πλείονος ἀξίαν τὴν κτῆσιν εἶναι συμβέβηκε τῆς ἰδίας φύσεως, ἀθλίους τούτους εἶναι δεῖ νομίζειν ⋮ Ἀριστοτέλους. Νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦ ῥα λεαίνης μαστὸν ἐθήλαξεν, δρυμῷ τέ νιν ἔτραφε μάτηρ ὅς με κατασμύχων καὶ ὀστέον ἄχρις ἰάπτει ⋮ Θεοκρίτου. [10]

12 21a Ξανθίππης Σωκράτει τῷ ἀνδρὶ ἐπιτιμώσης διότι λιτῶς παρεσκευάζετο ὑποδέξασθαι φίλους, ὦ γύναι, εἶπεν, εἰ μὲν ἡμέτεροι εἰσίν, οὐδὲν ἐκείνοις μελήσει, εἰ δὲ ἀλλότριοι, ἡμῖν περὶ αὐτῶν οὐδὲν μελήσει. Ξένοις μεταδίδου καὶ τοῖς δεομένοις ἐκ τῶν ἐνόντων· ὁ γὰρ μὴ διδοὺς δεομένῳ οὐδὲ αὐτὸς λήψεται δεόμενος ⋮ Δημοκρίτου.

12 21c Ξένῃ ἐν γῇ τὸ μὲν ὤνιον, σπάνιον τοῖς ἀγνοοῦσι· τὸ δὲ αἰτούμενον, εὐμετάδοτον τοῖς ἐλεοῦσι ⋮ Χαρικλείας. Ξένον σιγᾶν κρεῖττον ἢ κεκραγέναι.

12 21e Ξένον σεαυτὸν ἴσθι καὶ τίμα ξένους. Ξένος ἀνὴρ δίκαιος οὐ μόνον πολίτου, ἀλλὰ καὶ συγγενοῦς διαφέρει ⋮ Πυθαγόρου.

12 22a Ξίφος τιτρώσκει σάρκας, τὸν δὲ νοῦν λόγος. Ξὺν νόῳ λέγοντας ἰσχυρίζεσθαι χρὴ τῷ ξυνῷ πάντων ⋮ Ἡρακλείτου.

12 30a Ὁ ἁλιεὺς πληγεὶς νοῦν φύσει : ἐπὶ τῶν μετὰ τὸ παθεῖν μανθανόντων. Ὁ γὰρ θεὸς πάντ’ ἀναστρέφει πάλιν.

12 30c Ὁ δ’ ἀνὴρ κἀνόμωτος πιστεύειν ἄξιος. Ὁδοῦ καὶ ἀληθείας χαλεπὸν ἀποπλανηθῆναι ⋮ Πλουτάρχου.

12 31b Ὀβολὸς καλλιχέλωνος : οἱ γὰρ παλαιοὶ καὶ χελώνην ἐτύπουν ἐν τοῖς νομίσμασιν· ὅθεν λέγεται· Τὰν ἀρετὰν καὶ τὰν σοφίαν νικᾶντι χελῶνα ι . Ὁ δὲ καιρὸς ὁμοίως παντὸς ἔχει κορυφάν ⋮ Πινδάρου.

12 32a Ὁ θυμὸς γὰρ ἀλγῶν ἀσφάλειαν οὐκ ἔχει ⋮ Εὐριπίδου. Οἱ δ ’ ἀρέσκου ς ’ οἷς μάλισθ’ ἁδεῖν με χρή.

12 33a Ὁ δυοῖν ἐπιθυμήσας οὐδετέρου ἔτυχεν. ὁμοία τῇ ὁ δύο πτῶκας. Ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων ⋮ Εὐριπίδου.

12 39a Οἱ ἑκούσιοι πόνοι τὴν τῶν ἀκουσίων ὑπομονὴν ἐλαφροτέραν παρασκευάζουσιν. Οἷα πα ρ ’ ἄλλου μὴ παθεῖν ὅλως θέλεις, τοιαῦτα καὶ σὺ μὴ δρᾶν ἀνθρώπῳ θέλε.

12 40a Οἱ ἀγαθοὶ οἰκέται ἐλεύθεροι· οἱ πονηροὶ ἐλεύθεροι, δοῦλοι πολλῶν ἐπιθυμιῶν. Οἵους ἂν ἐράνους ἐνέγκῃς τοῖς γονεῦσι, τούτους αὐτοὺς ἐν τῷ γήρᾳ παρὰ τῶν παίδων προσδέχου ⋮ Πιττακοῦ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

12 42b Οἱ τὸ σῶμα εὖ διακείμενοι καὶ καύματα καὶ ψύχη ὑπομένουσιν· οὕτω δὲ καὶ οἱ τὴν ψυχὴν καλῶς διακείμενοι, καὶ ὀργὴν καὶ λύπην καὶ περιχάρειαν καὶ τἄλλα πάντα φέρουσιν. Οἷος ὁ τρόπο ς , τοιοῦτος ὁ λόγος.

12 42d Οἴμοι σὺ δ’ οὐδὲν ἐξ ἁμαξουργοῦ λέγεις; Οἶσθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆσαι.

12 42f Οἴνου δὲ μὴ παρόντος οὐκ ἔστι Κύπρις. Οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνή ἐσθλὴ παραζευχθεῖσα καὶ σώζει δόμους ⋮ Εὐριπίδου.

12 52a Οἶμαι δὲ καὶ τῶν σαββάτων ἑορτὴν μὴ παντάπασιν ἀπροσδιόνυσον εἶναι ⋮ Πλουτάρχου. Οἱ πεπαιδευμένο ι , καθάπερ οἱ ἐκ τῆς παλαίστρας, κἂν πέσωσι, ταχέως καὶ ἐπιδεξίως ἐκ τῆς ἀτυχίας ἐξανίστανται ⋮ Ἰσοκράτους.

12 53b Οἱ θυμικο ὶ , καθάπερ αἱ κύνες, τυφλὰ τίκτουσιν ἐγκλήματα ⋮ Πλουτάρχου. Οἱ μὲν τραχεῖς ἵπποι τοῖς χαλινοῖς, οἱ δὲ ὀξεῖς θυμοὶ μετάγονται τοῖς λογισμοῖς ⋮ τοῦ αὐτοῦ.

12 53d Οἱ ἀπὸ τῶν αἰσχρῶν κερδῶν εἰς τὰς καλὰς ἀναλίσκοντες λειτουργίας ὅμοιόν τι ποιοῦσι τοῖς ἀπὸ ἱεροσυλίας θεοσεβοῦσι ⋮ τοῦ αὐτοῦ. Οἱ μὲν τέττιγες μουσικοί, οἱ δὲ κοχλίαι ἄφωνοι· χαίρουσι δὲ οἱ μὲν ὑγραινόμενοι, οἱ δὲ θερμαινόμενοι· ἔπειτα προσκαλεῖται τοὺς μὲν ἡ δρόσος, καὶ ἐπὶ ταύτῃ ἐκδύνουσι· τοὺς δ’ αὖ διεγείρει ἀκμάζων ὁ ἥλιος καὶ ἐν αὐτῷ ᾄδουσι.

12 53e τοιγαροῦν εἰ βούλει μουσικὸς καὶ εὐάρμοστος ὑπάρχειν ἀνήρ, ἡνίκα μὲν τοῖς πότοις ὑπὸ τοῦ οἴνου δροσισθῇ ἡ ψυχή, τότε αὐτὴν μὴ ἔα προϊοῦσαν μολύνεσθαι· ἀλλ’ ἡνίκα ἂν ἐν τοῖς συνεδρίοις ὑπὸ τοῦ λόγου διαπυρωθῇ, τότε τὰ τῆς δικαιοσύνης κέλευε λόγια ⋮ Ἐπικτήτου. Οἱ μὲν ζῶντες ἐκ τῶν φίλων, οἱ δὲ τεθνεῶτες ἐκ τῶν ἐπιτρόπων διαγινώσκονται ⋮ Πλουτάρχου. [5]

12 53g Οἱ φιλόμουσοι τῶν βασιλέων πολλοὺς μουσικοὺς ποιοῦσιν, οἱ φιλολόγοι λογίους, οἱ φιλαθληταὶ γυμναστικούς· οὕτως ἀνὴρ φιλοσώματος καλλωπίστραν γυναῖκα ποιεῖ, φιλήδονος ἑταιρικὴν καὶ ἀκόλαστον, φιλάγαθος καὶ φιλόκαλος σώφρονα καὶ κοσμίαν ⋮ Δίωνος τοῦ Ῥωμαίου. Ὁ κοινὸς ἰατρός σε θεραπεύσει χρόνος ⋮ Φιλιππίδου. [5]

12 58a Ὁ κακῶς διανοηθεὶς περὶ τῶν οἰκείων οὐδέποτε καλῶς βουλεύεται περὶ τῶν ἀλλοτρίων ⋮ Ἰσοκράτους. Ὃ καὶ σίδηρον ἀγχόνας τ’ ἐφέλκεται, χρηστῶν πενήτων ἄν τις αἰσχύνῃ τέκνα.

12 65a Ὅλους Ἄθως κατατοξεύεις τῆς κορυφῆς : ἐπὶ τῶν πασχόντων ἀνύποιστα. Ὁ λόγο ς , ὥσπερ πλάστης ἀγαθός, καλὸν τῇ ψυχῇ περιτίθησι σχῆμα ⋮ Πλάτων.

12 65c Ὄλβιος ἀνὴρ ὃς φρενῶν ὄλβον τύχῃ. Ὄλβιος οὗτος ἀνήρ, ὃς ἐμὸν δόμον ἐσκαταβαίνει, Κύψελος Αἰακίδης, βασιλεὺς κλεινοῖο Κορίνθου.

12 65e Ὄλβιος ᾧτινι θεὸς μοῖράν τε καλῶν ἔπορε, σύν τ’ ἐπιζήλῳ τύχᾳ ἀφνειὸν βιοτὰν διάγειν. Ὁ Λυδὸς τὸν ὄνον ἐλαύνει : ἐπὶ τῶν παρ’ ἀξίαν τι πραττόντων· παρόσον ἱππικώτατοι οἱ Λυδοί.

12 66b Ὅλως τὸ κρεῖσσον οὐκ ἐᾷ φρονεῖν μέγα ⋮ Χαιρήμων. Ὅλας ἁμάξας βλασφημῶν κατεσκέδασαν ἀλλήλων.

12 66d Ὀλιγαρκῆ γὰρ καὶ μέτριον χρὴ εἶναι τὸν φιλοσοφοῦντα καὶ μηδὲν ὑπὲρ τὴν πήραν φρονεῖν ⋮ Λουκιανοῦ. Ὁ μὲν δειλὸς καθ’ ἑαυτοῦ τὰ ὅπλα ἔχει, ὁ δὲ ἀνόητος τὰ χρήματα.

12 70a Ὁμιλίας τε τὰς γεραιτέρους θέλε. Ὁμοίως ἐπισφαλὲς μαινομένῳ δοῦναι μάχαιραν, καὶ πονηρῷ δύναμιν ⋮ Ἰαμβλίχου ἡ γνώμη.

12 70c Ὄμφακας βλέπει : ἐπὶ τῶν ἀπαιδεύτων καὶ πλησιαζόντων σοφοῖς πειρωμένων. Ὁ μὲν οἶνος μεταβάλλει τοῖς ἀγγείοις· ὁ δὲ πλοῦτος τοῖς τῶν κεκτημένων τρόποις ⋮ Σωκράτους.

12 73a Ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει ἀνέμους, ἥλιον, γῆν, ὕδωρ, πῦρ, ἀστέρας· ἐγὼ δ’ ὑπέλαβον χρησίμους εἶναι θεούς τὸ ἀργύριον ὑμῶν καὶ τὸ χρυσίον. ἱδρυσαμένους τούτους γὰρ

εἰς τὴν οἰκίαν, εὔξαιτ’ εἰ βούλει, πάντα σοι γενήσεται, ἀγρός, οἰκίαι, θεράποντες, ἀργυρώματα, φίλοι, δικασταί, μάρτυρες, μόνον δίδου. αὐτοὺς γὰρ ἕξεις τοὺς θεοὺς ὑπηρέτας. Ὁ μὲν γὰρ ἐν τῷ ζῆν ἀγαθὸς ἄδηλον εἰ μεταβαλεῖται πρὸς τὸ χεῖρον.

12 73b αἱ τύχαι γὰρ ἀνθρώπων. οὐχ αἱ γνῶμαι κρατοῦσιν· ὁ δὲ τελευτήσας ἀκατηγόρητος ἐν τῷ καλλίστῳ σχήματι τῆς δόξης καθίδρυται. Ὅμοιον ὁμοίῳ δεῖ πλησιάζειν : παλαιὸς λόγος καὶ εὖ ἔχων ἐστί.

12 74b Ὁ μὴ δουλεύσας οὐδ’ ἂν δεσπότης γένοιτο ἄξιος ἐπαίνου ⋮ Ξενοφῶντος. Ὁμοίου τοὺς φιλαργύρους τοῖς ὑδροπικοῖς· ἐκείνους μὲν γὰρ πλήρεις ὄντας ἀργυρίου ἐπιθυμεῖν πλείονος· ἀμφοτέρους δὲ, πρὸς κακοῦ· ἐπιτείνεσθαι γὰρ μᾶλλον τὰ πάθη, ὅσῳ τὰ ἐπιθυμούμενα πορίζεται ⋮ Διογένης.

12 74d Ὁ μέντοι φόβος οὐ μόνος αὐτὸς ἐνὼν ταῖς ψυχαῖς λυπηρὸς ἐστίν, ἀλλὰ καὶ πάντων τῶν ἡδέων συμπαρομαρτῶν λυμαντὴρ ἐστί ⋮ Ξενοφῶντος. Ὁμοιότατον ἄνθρωπος οἴνῳ τὴν φύσιν τρόπον τιν’ ἐστί· τὸν γὰρ οἶνον τὸν νέον πολλή γ’ ἀνάγκη καὶ τὸν ἄνδρ’ ἀποζέσαι πρώτιστον ἀφυβρίσαντ’ ἀποινήσαντα δὲ σκληρὸν γενέσθαι καὶ καταστῆναι πάλιν, ἡδύν θ’ ἅπασι τοὐπίλοιπον διατελεῖν.

12 74f Περὶ τοῦ ὁμοῦ καὶ τοῦ ἅμα ὅτι σημαίνετον ποτὲ μὲν τόπον, ποτὲ δὲ χρόνον· Ὁμοῦ τοπικὸν καὶ χρονικὸν ἔσθ’ ὅτε· ἅμα χρονικὸν, ὡς λέγει Παυσανίας. δείγματα σαφῆ τῆς ὁμοῦ σημασίας· ὁμοῦ νεῶν πίνακα καὶ βροτῶν δέμας. σαφὲς τοπικόν· εἰς τὸν αὐτὸν γὰρ τόπον· πόλις θ’ ὁμοῦ μὲν θυμιαμάτων γέμει, αἰαγμάτων ὁμοῦ τε καὶ στεναγμάτων. τοῦτο χρονικόν· ἐς τὸν αὐτὸν γὰρ χρόνον. δεῖγμα δὲ σαφὲς τῆς ἅμα σημασίας· αὐτὰρ ἐπεὶ κόσμηθεν ἅμα κοιράνοις. καὶ πάλιν ἅμα σὺν ἐμοὶ βαδιστέον. Ὁ μὲν γὰρ ἑνός, ὁ δὲ πολλῶν ἀντάξιος ἑταίρων ⋮ Πλάτωνος.

12 74h Ὅμως ἐπειδὴ τὸν οἶνον ἠξίους πίνειν, συνεκποτέον ἐστί σοι καὶ τὴν τρύγα. Ὄνος πεινῶν οὐ φροντίζει ῥοπάλου : ἐπὶ τῶν διὰ τὴν γαστέρα καὶ πληγὰς καὶ ὕβρεις ὑπομενόντων· ἐπεὶ καὶ ὄνος πεινῶν δυσκόλως ἀπαλλάττεται τῆς φορβῆς καὶ λίαν τυπτόμενος· πρὸς τοῦτο ἀποβλέψας ὁ θεῖος Ὅμηρος καὶ τήνδε τὴν χαριεστάτην παραβολὴν ἐποιήσατο· Ὡς δ’ ὅτ’ ὄνος παρ’ ἄρουραν ἰὼν ἐβιήσατο παῖδας νωθής, ᾧ δὴ πολλὰ περὶ ῥόπαλ’ ἀμφὶς ἐάγη, κείρει τ’ εἰσελθὼν βαθὺ λήϊον· οἱ δέ τε παῖδες τύπτουσι ῥοπάλοισι· βίη δέ τε νηπίη αὐτῶν· σπουδῇ δ’ ἐξήλλασσαν, ἐπεί τ’ ἐκορέσατο φορβῆς.

12 78a Ὄνου πληγῶν ἄξιος. Ὀνείρατά μοι λέγεις : ἐπὶ τῶν ἄπιστα καὶ ἀδύνατα διηγουμένων· ὅθεν καὶ ἡ κοινὴ καὶ δημώδης παροιμία· τοῦτο κα τ ’ ὄναρ εἶδε ς .

12 81a Ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος ⋮ Μενάνδρου. Ὄνομα γά ρ , ἔργον δ’ οὐκ ἔχουσιν οἱ φίλοι, οἱ μὴ ’πὶ ταῖς συμφοραῖς ὄντες φίλοι.

12 83a Ὁ νεβρὸς τὸν λέοντα πυνθάνεται : ἐπὶ τῶν ἐναντίως γινομένων. Ὄνος κάθου : ἐπὶ τῶν ἐν πράγματι ἡττωμένων.

12 87a Ὄνου χρείαν ἐλέγχει τραχύτης ὁδοῦ, καὶ φίλον εὔνουν αἱ συμφοραὶ διακρίνουσιν ⋮ Μενάνδρου. Ἡ γὰρ περιστάσεων ἀνάγκη τοὺς μὲν φίλους δοκιμάζει· τοὺς δὲ ἐχθροὺς ἐλέγχει ⋮ Δημώνακτος.

12 87c Ὃν ἡ τύχη προπηλακίζει καὶ παρὰ τῶν πρᾴων οὗτος μάστιγας εὑρίσκει. Ὄνος εἰς μάρτυν ὀγκᾶται : ἐπὶ τῶν ἐγκαίρια ποιούντων.

12 91a Ὄνος λύρας ἤκουε καὶ σάλπιγγος ὗς. Ὀνοσκελίας θυγάτηρ : ἐπὶ τῶν εὐειδεστάτων ⋮ Νεανίας τῶν ἐπισήμων, Ἐφέσιος τῷ γένει, υἱὸς Δημοστράτου, ταῖς δ’ ἀληθείαις Ἄρεως, τοῦτο τὸ θῆλυ μισῶν γένος νυκτὸς βαθείας εἰς τὰς πατρῴας ἔτρεχεν ἀγέλας, καὶ ὄνῳ συνεγένετο θηλείᾳ.

12 91b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἡ δὲ ἔγκυος γενομένη ἔτεκε κόρην εὐειδεστάτην Ὀνοσκελίαν τοὔνομα, τὴν προσηγορίαν λαβοῦσαν ἀπὸ τοῦ συμπτώματος ⋮ Ἀριστοκλῆς ἐν β παραδόξων. Ὀξὺ ἡ κακία τῆς ἐξουσίας δρόμον ἔχουσα, πᾶν πάθος ἐξωθεῖ, ποιοῦσα τὴν ὀργὴν φθόνον, τὸν ἔρωτα μοιχείαν, τὴν πλεονεξίαν δήμευσιν, ἐὰν μὴ βάρος ἔχων ὁ λόγος ἐπιθλίβῃ καὶ πιέζῃ τὴν ἐξουσίαν ⋮ Πλουτάρχου.

12 94a Ὅπου τις ἀλγεῖ, κεῖσε καὶ τὸν νοῦν ἔχει ⋮ Ἄμφιδος. Ὁ πλεῖστα πράσσων πλεῖστ' ἁμαρτάνει βροτῶν.

12 97b Ὅπου γυναῖκές εἰσι πάντ' ἐκεῖ κακά ⋮ Μενάνδρου. Ὁ πλειόνων ἐρῶν καὶ τῶν προσόντων ἀποστερεῖται ⋮ Αἰσώπου.

12 97d Ὁποῖοι γὰρ ἄν τινες ὦσιν οἱ χρώμενοι, τοιαῦτα καὶ τὰ πράγματα αὐτοῖς ἀνάγκη εἶναι· καὶ φρονεῦσι τοὶ ἄοικοι οἷς ἐγκυρέωσιν ἔργμασιν. Ὁ πένης ἐλεεῖται, ὁ δὲ πλούσιος φθονεῖται· ὁ μέσος δὲ βίος κεκραμμένος δίκαιος ἐστίν· αὐτάρκεια γὰρ πᾶσιν ἡδονὴ δικαία.

12 97f Ὁ πλοῦτός ἐστι παρακάλυμμα τῶν κακῶν, ὦ μῆτερ, ἡ πενία περιφανές τε καὶ ταπεινόν ⋮ Ἀντιφάνους. Ὁ Πλάτων φησὶν εὐδαίμονα καὶ μακαρίαν εἶναι πόλιν, ἐν ᾗ τὸ ἐμόν τε καὶ τὸ οὐκ ἐμὸν ἥκιστα φθεγγομένων ἀκούουσι, διὰ τὸ κοινοῖς ὡς ἔνι μάλιστα χρῆσθαι τοῖς ἀξίοις σπουδῆς τοὺς πολίτας· πολὺ δὲ μᾶλλον ἐν γάμῳ δεῖ τὴν τοιαύτην φωνὴν ἀνῃρῆσθαι.

12 99a Ὀργιλότερος τῶν κυνιδίων. Ὀρθοῦ οὐδὲν ὀρθότερον καὶ δικαίου οὐδὲν δικαιότερον ⋮ Ἐπικτήτου.

13 1a Ὅρασις μὲν ἔρωτος ἄρχει, αὔξει δὲ τὸ πάθος ἐλπὶς, τρέφει δὲ μνήμη, τηρεῖ δὲ συνήθεια. Ὁ Ῥῆνος ἐλέγχει τὸν νόθον : ἐπὶ τῶν δοκιμαζομένων εἰ τοιοῦτοί εἰσιν, οἷοι φαίνονται εἶναι.

13 2a Ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα, καὶ γῆν πέριξ ἔχοντα ὑγραῖς ἀγκάλαις. τοῦτον νόμιζε Ζῆνα, τόνδ' ἡγοῦ θεόν ⋮ Εὐριπίδου. Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν εἴδωλ' ὅσοιπερ ζῶμεν ἢ κούφην σκιάν ⋮ Σοφοκλέους.

13 2c Ὅρος τοῦ μεγέθους τῶν ἡδονῶν ἡ παντὸς τοῦ ἀλογοῦντος ὑπεξαίρεσις ⋮ Πλούταρχος εἶπε. Ὅστις δὲ δούλῳ φωτὶ πιστεύει βροτῶν, πολλὴν παρ' ἡμῖν μωρίαν ὀφλισκάνει ⋮ Εὐριπίδου.

13 7b Ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσι βροτῶν, ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων, οὐκ ἔστι ποίας λείπεται τόθ' ἡδονῆς ⋮ Εὐριπίδου. Ὅστις στρατηγεῖ μὴ στρατιώτης γενόμενος, οὗτος ἑκατόμβην ἐξάγει τοῖς πολεμίοις ⋮ Μενάνδρου.

13 7d Ὅστις γὰρ εὖ βουλεύεται πρὸς τοὺς ἀντιπάλους κρείσσων ἐστὶν ἢ μετ' ἔργων ἰσχύος ἀνοίᾳ ἐπιών ⋮ Θουκυδίδου. Ὅστις νέμει κάλλιστα τοῖς αὐτοῦ φίλοις, οὗτος σοφὸς πέφυκε πρὸς τὸ συμφέρον.

13 10b Ὅστις γὰρ ὀμνύοντι μηδὲν πείθεται, αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται ⋮ Ἄμφιδος. Ὅστις ὑπέχει χρυσίῳ τὴν χεῖρα, κἂν μὴ φῇ, πονηρὰ βουλεύεται ⋮ Μενάνδρου.

13 10d Ὅστις δὲ τοῖς φίλοισι πάντα πρὸς χάριν πράσσων ὁμιλεῖ, τὴν παραυτίχ' ἡδονὴν ἔχθραν καθίστησιν εἰς τὸν ὕστερον χρόνον ⋮ Κριτίου. Ὅστις γὰρ ἐν κακοῖσιν ἱμείρει βίου, ἢ δειλός ἐστιν ἢ δυσάλγητος φρένας ⋮ Σοφοκλέους.

13 10f Ὅστις δ ' ἐρυθριᾷ τηλικοῦτος ὢν ἔτι πρὸς τοὺς ἑαυτοῦ γονέας, οὐκ ἔστι κακός. — ὅστις γὰρ ὁμόλογόν τι μὴ ποιεῖ πατρί, πάντων ἂν οὗτος κατεφρόνησε τῶν θεῶν. — τοῦ γὰρ πατρὸς κρατεῖν μὲν αἰσχύνην φέρει, ἡσσημένῳ δὲ δόξα νικητήριος ⋮ Ἀντιφάνους. Ὅστις φοβεῖται τὸν πατέρα καὶ αἰσχύνεται, οὗτος πολίτης ἀγαθὸς ἔσται κατὰ λόγον, καὶ τοὺς πολεμίους δυνάμενος κακῶς ποιεῖν ⋮ Τιμοκλέους.

13 10h

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὅσῳ δ ’ ἄν τις τοὺς φίλους ἰσχυροτέρους ποιεῖ, οὗτος ἰσχυρότερος αὐτὸς γίνεται ⋮ Πεισωνιανοῦ Δίωνος. Ὅστις δὶς ναυαγήσει μάτην μέμφεται Ποσειδῶνα : παρόσον δεῖ τὸν ἅπαξ ἀπατηθέντα μὴ ἀπατηθῆναι δίς.

13 10k Ὅσῳ κρείττων ψυχὴ σώματος, τοσούτῳ καὶ οἱ ἀγῶνες οἱ τῶν ψυχῶν ἢ τῶν σωμάτων ἀξιοσπουδαστότεροι ⋮ Ξενοφῶντος τοῦ Γρύλλου ἡ γνώμη ἐκ τῆς Λακώνων πολιτείας. Ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει, ὅδ’ ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος ⋮ Εὐριπίδου.

13 13a Ὅταν ἕτερός σοι μηδὲ ἓν πλέον διδῷ, δέξαι τὸ μόριον· τοῦ λαβεῖν γὰρ μηδὲ ἕν τὸ λαβεῖν ἔλαττον πλεῖον ἔσται σοι πολύ ⋮ Μενάνδρου. Ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐγγόνους.

13 13b φεῦ, φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει, οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός ⋮ Εὐριπίδου. Ὅταν δ’ ὁ δαίμων εὐροῇ, πεποιθέναι τὸν αὐτὸν ἀεὶ δαίμον’ οὐριεῖν τύχης ⋮ Αἰσχύλου ἐν Πέρσαις.

13 13d Ὁ τῷ λογισμῷ πάντα παρ’ ἑαυτῷ σκοπῶν τὸ κακὸν ἀφαιρεῖται, τἀγαθὸν δὲ λαμβάνει ⋮ Φιλήμονος. Ὁ τῶν ἀσώτων βίος ὥσπερ καθ’ ἡμέραν ἀποθνήσκων ἐκφέρεται ⋮ Πλουτάρχου.

13 13f Ὅταν βούληται θεὸς εὖ πρᾶξαι πόλιν, ἄνδρας ἀγαθοὺς ἐποίησεν· ὅταν δὲ μέλλῃ κακῶς πράξειν πόλεις, ἐξεῖλε τοὺς ἄνδρας τοὺς ἀγαθοὺς ἐκ ταύτης τῆς πόλεως ὁ θεός· οὕτως ἔοικεν οὔτε διδακτὸν εἶναι οὔτε φύσει ἀρετή, ἀλλὰ θείᾳ μοίρᾳ παραγίνεται κτωμένοις. Ὁ θεὸς γὰρ πάντα καὶ μετὰ θεοῦ τύχη καὶ καιρὸς τἀνθρώπινα διακυβερνῶσι σύμπαντα ⋮ Πλάτωνος. Ὅταν δ ’ ἔρωτος ἐνδεθῶμεν ἄρκυσι, θᾶσσον θυραίοις τὴν χάριν ποιούμεθα, ἢ τοῖς ἀνάγκης ἐν γένει πεφυκόσι ⋮ Δικαιογένους. [5]

13 13h Ὅταν γὰρ ἄλοχον εἰς δόμους ἄγῃ πόσις, οὐχ, ὡς δοκεῖ, γυναῖκα λαμβάνει μόνον· ὁμοῦ δὲ τῇδέ τ’ εἰσκομίζεται λαβὼν καὶ δαίμον’ ἢ χρηστὸν ἢ τοὐναντίον ⋮ Θεοδέκτου. Ὅταν γυνὴ ὁμονοίας τῆς πρὸς ἄνδρα στερηθῇ, ἀβίωτος ὁ καταλειπόμενος γίνεται βίος ⋮ Λυκούργου.

13 13k Ὁ τῶν φιλαργύρων πλοῦτος, ὥσπερ ὁ ἥλιος καταδὺς εἰς τὴν γῆν, οὐδένα τῶν ζώντων εὐφραίνει. Ὁ τῶν ἀλλοτρίων ἐρῶν μετ’ οὐ πολὺ θρηνήσει τῶν ἰδίων ἀποστερούμενος ⋮ Πορφυρίου.

13 13m Ὁ τὰ φαῦλα τοῖς φίλοις ἐπιτελῶν οὐκ ἄν ποτε τῶν ἀγαθῶν γένοιτο προσφιλής. Ὅταν εὐπορῶν τις αἰσχρὰ πράττῃ πράγματα τί τοῦτον εὐπορήσαντα πράξειν προσδοκᾷς; Ἀντιφάνους.

13 13o Ὁ τοῖς φίλοις χαριζόμενος ἅμα μὲν ὡς χαριζόμενος ἥδεται διδούς, ἅμα δὲ ὡς αὐτὸς κτώμενος ⋮ Πεισωνιανοῦ Δίωνος. Ὁ τῷ κατὰ φύσιν ἀρκεόμενος πλούτῳ, τοῦ πολλὰ κεκτημένου, πλείονα δὲ ἐπιθυμοῦντος πολύ ἐστι πλουσιώτερος· τῷ μὲν γὰρ οὐδὲν ἐλλείπει, τῷ δὲ καὶ ὧν κέκτηται πολλῷ πλείονα.

13 15a Οὐδὲν γὰρ οὕτω γένοιτ’ ἂν ἔξω τοῦ νόμου τῶν Μοιρῶν, οὐδὲ ὑπὲρ τὸ λίνον. Οὐδὲν πρὸς ἔπο ς .

13 15c Οὐ γὰρ καλὸν ἀνήνασθαι δόσιν ἑταίρου. Οὐ γάρ πω πάντεσσι θεοὶ φαίνονται ἐναργεῖς.

13 15e Οὐ γὰρ ἂν ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι. Οὐ γάρ τι στυγερῇ ἐπὶ γαστέρι κύντερον ἄλλο ἔπλετο, ἥτ’ ἐκέλευσεν ἕο μνήσασθαι ἀνάγκῃ, καὶ μάλα τειρόμενον, καὶ ἐνὶ φρεσὶ πένθος ἔχοντα.

13 15g Οὐ γὰρ Φαιήκεσσι μέλει ἰὸς ἠδὲ φαρέτρη, ἀλλ’ ἱστοὶ καὶ ἐρετμὰ νεῶν καὶ νῆες ἐῗσαι. Οὐ δ ’ ὀβολὸν ἔχει πρίασθαι βρόχον.

13 15i Οὐ δ ’ ὄναρ λευκοῦ ποτε ἄρτου ἐμφορηθείς. Οὐ γὰρ εἰδείης ἀνδρὸς νόον οὐδὲ γυναικός, πρὶν ἂν πειραθείης ὥσπερ ὑποζυγίου.

13 15l Οὐ βούλομαι πλουτοῦντι δωρεῖσθαι πένης· μή μ’ ἄφρονα κρίνῃς, ἣν διδοὺς αἰτεῖν δοκῶ. Οὐδὲν πρὸς τὴν χορδήν : ἐπὶ τῶν ἀσύμφωνα τῇ φήμῃ βιούντων.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

13 15m ἀπὸ μεταφορᾶς τῶν μὴ χρωμένων τοῖς ποσὶ πρὸς λύραν· ἐμμέτρως. Οὐδεὶς ἐραστὴς ὅστις οὐκ ἀεὶ φιλεῖ.

13 15o Οὐδεὶς ἐπλούτησε ταχέως δίκαιος ὢν ⁝ Μενάνδρου. Οὐ δεῖ φιλεῖν ὡς μισήσοντα , ἀλλὰ μᾶλλον μισεῖν ὡς φιλήσοντα : Ἀριστοτέλης ἐν ῥητορικῇ ὥσπερ ἐπιδιορθούμενος τὸν Βίαντα οὕτω φησί.

13 15q Οὐδέποτε κληθεὶς ἐπὶ δεῖπνον ὕστατος ἀφικόμην : τοῖς τρεχεπιδείπνοις τοῦτο ἁρμόδιον. Οὐδεὶς οὐδὲ σκορόδου κεφαλὴν τοῖς ἑψητοῖσι δίδωσι.

13 15s Οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα ⁝ Ἰλιάδος Ψ. Οὐ δ ’ ἄρα πως ἦν· ἐν πάντεσσ’ ἔργοισι δαήμονα φῶτα γενέσθαι.

13 16a Οὐδεὶς ἀνὴρ τέλειος ἀρετῆς ἄνευ. Οὐδὲ ῥοιὰν γλυκεῖαν ἐκ τῆς δεξιᾶς δέξαιτο ἄν : ἤγουν παρὰ πονηρῶν οὐδὲ χρηστὰ λαμβάνειν.

13 19a Οὔτινα μοῖράν φημι πεφυγμένον ἔμμεναι ἄνδρα ⁝ Ὁμήρου. Οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω, εἷς βασιλεύς, ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω σκῆπτρον ἠδὲ θέμιστας, ἵνα σφίσι βασιλεύῃ ⁝ Ὁμήρου.

13 19c Οὐ γὰρ δὴ τῇ γε ἀληθείᾳ οὐ προσδέχεται δίκαιος ἔρως πονηρίαν ⁝ Αἰσχίνου. Οὔτε λείψανα τῶν ἀγαθῶν ἀνδρῶν ἀφαιρεῖται χρόνος· ἁ δ’ ἀρετὰ καὶ θανοῦσι λάμπει ⁝ Εὐριπίδου.

13 21a Οὐκ ἀνδρῶν ὅρκοι πίστεις, ἀλλ’ ὅρκων ἀνήρ ⁝ Ἄλεξις. Οὐκ ἔστιν ἀναιδοῦς ζῷον εὐθαρσέστερον ⁝ Διφίλου.

13 21c Οὐκ ἐκ χρημάτων ἡ ἀρετὴ γίνεται, ἀλλ’ ἐξ ἀρετῆς τὰ χρήματα καὶ τἄλλ’ ἀγαθὰ τοῖς ἀνθρώποις. Οὐδὲ πυρφόρος ἐσώθη : κατὰ τὸ παλαιὸν μηδέπω σάλπιγγος εὑρεθείσης ἐχρῶντο ἐν τοῖς πολέμοις ἀντὶ σαλπιγκτῶν πυρφόροις· οὗτοι δὲ ἱεροὶ ἦσαν Ἄρεος, ἑκατέρας στρατιᾶς προηγούμενοι μετὰ λαμπάδος, ἣν ἀφιέντες ἐς τὸ μεταίχμιον ἀνεχώρουν ἀκίνδυνοι. [5]

13 34a καὶ οὕτως συνέβαλλον αἱ στρατιαί. ἐσώζοντο δὲ οἱ πυρφόροι ὡς ἱεροὶ τοῦ θεοῦ, εἰ καὶ πάντες ἀπώλοντο. ὅθεν παροιμία ἐπὶ τῶν ἄρδην ἀπολλυμένων, οὐδὲ πυρφόρος ἐσώθ η . Οὐ τοῖς ἀθύμοις ἡ τύχη συλλαμβάνει ⁝ Μενάνδρου.

13 39a Οὐκ ἔστιν οὐ δεὶς δειλὸς δεδοικὼς νόμον ⁝ Φιλωνίδου. Οὐ τῇ φρονήσε ι , τῇ τύχῃ δ’ ἑπητέον.

13 39c Οὐ νέμεσις καὶ ψεῦδος ὑπὲρ ψυχῆς ἀγορεύειν ⁝ Πισάνδρου. Οὐκ ἔστι τὴν ἐνεστηκυῖαν ἡμέραν καλῶς βιῶναι, μὴ προσθέμενον αὐτὴν ὡς ἐσχάτην βιῶσαι ⁝ Μουσωνίου.

13 39e Οὐκ ἔστι ν , ὦ μάταιε, σὺν ῥαθυμίᾳ τὰ τῶν πονούντων μὴ πονήσαντας λαβεῖν ⁝ Φιλίσκου. Οὐ βέβηλος ὦ τελεσταὶ τοῦ νέου Διονύσου· κἀγὼ δὲ ἐξ εὐεργεσίης ὠργιασμένος ἥκω ὁδεύων Πηλουσιακὸν κνεφαῖος παρὰ λαῖτμα ⁝ Εὐφορίωνος.

13 39g Οὐκ ἔστι κρεῖττον ἄλλο πλὴν κρατεῖν δορί. τολμᾶν δὲ χρεών· ὁ γὰρ ἐν καιρῷ μόχθος πολλὴν εὐδαιμονίαν τίκτει θνητοῖσι τελευτῶν ⁝ Εὐριπίδου. Οὐκ ἔστιν ἐν πολέμῳ δὶς ἁμαρτάνειν : Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτάνοντι· τοῦ δὲ φήσαντος μηκέτι τοῦτο ποιήσειν εἶπε ταύτην τὴν γνώμην.

13 39i Οὐ γὰρ τὸ μὴ λαβεῖν τἀγαθὰ οὕτω χαλεπόν, ὡς τὸ λαβόντα στερηθῆναι. Οὐκ ἔστιν οὐδὲν ἀτυχίας ἀνθρωπίνης παραμύθιον γλυκύτερον ἐν βίῳ τέχνης· ἐπὶ τοῦ μαθήματος γὰρ ἑστηκὼς ὁ νοῦς αὐτοῦ, λέληθε παραπλέων τὰς συμφοράς ⁝ Ἄμφιδος ἐξ Ἀμπέλου.

13 39l Οὐδὲν γαίᾳ κλεινᾷ γυναικὸς βαρύτερον οἶδ’ ὁ συντυχών· μακάριος δ’ ὃς ἀγνοεῖ ⁝ Ἐπιχάρμου. Οὐχ ὁ λόγος αὔξει τὴν τέχνην περισσὸς ὤν· ἀλλ’ αὐτὰ κοσμεῖ τὴν τέχνην τὰ πράγματα ⁝ Ἑρμοδότου.

13 39n

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Οὐχ αἱ τρίχες ποιοῦσιν αἱ λευκαὶ φρονεῖν, ἀλλ’ ὁ τρόπος ἐνίων ἐστὶ τῇ φύσει γέρων ⁝ Μενάνδρου. Οὔτε συμπόσιον χωρὶς ὁμιλίας, οὔτε πλοῦτος χωρὶς ἀρετῆς ἡδονὴν ἔχει ⁝ Φωκίωνος.

13 39p Οὔ ποτε σὸν μνῆμα Εὐρίπιδες ὄλετο. Οὐκ ἦν ἂν ἀνθρώποισιν ἐν βίῳ φθόνος, εἰ πάντες ἦμεν ἐξίσου πεφυκότες.

13 39q εἰς τἀπίσημα δ’ ὁ φθόνος πηδᾶν φίλει ⁝ Ἀγάθωνος. Οὐκ ἔστιν ἄφοβον εἶναι φοβερὸν φαινόμενον ⁝ Ἐπικούρου.

13 39s Οὔτε σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι, οὐ γὰρ πηδαλίῳ πείθεται, ὡς ἄκατος, οὐδ’ ἄγκυραι ἔχουσιν· ἀποῤῥήξασαι δὲ δεσμά πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα ⁝ Θεόγνιδος. Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων ὄντως γυναικὸς προῖκα πολλὴν φερομένης ⁝ Ἀλέξιδος.

13 39u Οὐκ ἔσ τ ’ ἀναισχυντότερον οὐδὲν θηρίον γυναικός, ἀπ’ ἐμαυτῆς ἐγὼ τεκμαίρομαι ⁝ Ἀλέξιδος. Οὐκ ἔστιν κρεῖττον τοῦ σιωπᾶν οὐδὲ ἕν ⁝ Ἄμφιδος.

13 41b Οὐ δεῖ φιλογέλωτα εἶναι σχέδον ὅταν τις φλέγῃ ἰσχυρῷ γέλωτι, ἰσχυρὰν καὶ μεταβολὴν ζητεῖ τὸ τοιοῦτον ⁝ Πλάτωνος. Οὐ δ ’ ἀπομύξασθαι σύνοιδεν : ἐπὶ τῶν ἐπιεικῶς ἀνοήτων.

13 45a Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο. οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ, ἀλλ’ οἱ πόνοι τίκτουσι τὴν εὐανδρίαν ⁝ Εὐριπίδου. Οὔποτε ποιήσεις τὸν καρκίνον ὀρθὰ βαδίζειν.

13 46a οὐδ’ ἐπὶ τῷ πραχθέντι ποιήσεις ὕστερον οὐδέν ⁝ Ἀριστοφάνους ἐν Εἰρήνῃ. Οὔτοι ἐγὼ θεός εἰμι · τί μ ’ ἀθανάτοισιν ἐΐσκει ς ; τοῦτο πᾶς τις ἐχέτω ἀπόκρισιν πρὸς τοὺς κόλακας.

13 46c Ὄρνιθες δέ τε πολλοὶ ὑπ’ αὐγὰς ἠελίοιο φοιτῶς’, οὐδέ τε πάντες ἐναίσιμοι. Οὐ δ ’ ἔοικε Δηθὰ θεῶν ἐνὶ δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.

13 46e Οὕτω γνώμης ἔχουσιν, ἐξ οὐρίας φιλεῖ τὰ πράγματα φέρεσθαι ⁝ Λιβανίου. Οὕτω τὸ λίαν γ’ ἧσσον ἐπαινῶ τοῦ μηδὲν ἄγαν.

13 49a Οὐ δ ’ ἂν χρόνος ὁ πάντων πατὴρ δύνατο θέμεν ἔργων τέλος. Οὐχὶ καὶ αἱ χελῶναι διὰ μιᾶς πᾶσαι πλέαι : ἐπὶ τῶν διά τινος εὐεργετουμένων· φασὶ γὰρ ὁπόταν μία χελώνη πίῃ, αἱ λοιπαὶ ἀπὸ τοῦ ὄρου αὐτῆς ποτίζονται.

13 51b Οὐδεὶς γὰρ πώποτε πλοῦτος πονηροῦ τρόπου περιεγίνετο· καὶ τὸ κεφάλαιον, τὸν βίον οὐκ ἐκ τῶν ἰδίων προσόδων πορίζεται, ἀλλ’ ἐκ τῶν ἡμετέρων κινδύνων. Οὐ γὰρ αἱρετέον πάντως τὸ ῥᾳδίως ἁλισκόμενον ⁝ Πλουτάρχου.

13 51d Οὐκ ἂν πριαίμην οὐδ’ ἂν ἰσχάδος μιᾶς ⁝ Ἀριστοφάνους Εἰρήνῃ. Οὐκ ἔκλεψα τῶν σῶν ἄξιόν τι καὶ τριχός.

13 51f Οὕτως οὐ πάντεσσι θεοὶ χαρίεντα διδοῦσιν ἀνδράσιν, οὔτε φυὴν οὔτ’ ἂρ φρένας οὔτ’ ἀγορητήν. ἄλλος μὲν γάρ τ’ εἶδος ἀκιδνότερος πέλει ἀνήρ, ἀλλὰ θεὸς μορφὴν ἔπεσι στρέφει ⁝ Ὀδυσσείας Θ. Ἀλ λ ’ οὐ γὰρ ὡὐτὸς πάντ’ ἐπίστασθαι βροτῶν πέφυκεν· ἄλλῳ δ’ ἄλλο πρόσκειται γέρας ⁝ Εὐριπίδου.

13 51h Ἀλ λ ’ οὔπως ἅμα πάντα δυνήσεται αὐτὸς ἑλέσθαι. ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα· ἄλλῳ δ’ ὀρχηστάν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν. ἄλλῳ δ’ ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεύς ἐσθλόν, τοῦ δ’ ἐπαυρίσκοντ’ ἄνθρωποι ⁝ Ἰλιάδος Ν. Οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσει, φρασσάμενος τά κ’ ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνω· ἐσθλὸς δ’ αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται. [5]

13 51i ὃς δέ κε μήθ’ αὐτῷ νοέῃ μήτ’ ἄλλου ἀκούων ἐν θυμῷ βάλληται, ὁ δ’ αὖτ’ ἀχρήϊος ἀνήρ. Οὐ μόνον ἐς Πέρσας ἀνέβη Ξενοφῶν διὰ Κῦρον, ἀλλ’ ἄνοδον ζητῶν ἐς Διὸς ἥτις ἄγει. [5]

13 51k

παιδείης γὰρ ἑῆς Ἑλληνικὰ πράγματα δείξας, ὡς καλὸν ἡ σοφίη μνήσατο Σωκράτεος ⋮ Διογένους ἐπίγραμμα εἰς Ξενοφῶντα. Οὐκ ἄρα τοῦτο μάταιον ἔπος μερόπων τινὶ λέχθη, ῥήγνυσθαι σοφίης τόξον ἀνιέμενον.

13 51l δὴ γὰρ καὶ Θεόφραστος ἕως ἐπόνει μὲν ἄπηρος ἦν δέμας, εἶτ' ἀνεθεὶς κάτθανε πηρομελής ⋮ τοῦ αὐτοῦ εἰς Θεόφραστον. Οὔποτε φήσω γάμον εὐφραίνειν πλέον ἢ λυπεῖν.

13 51m πολλοὺς δὲ πλούτῳ καὶ γένει γαυρουμένους γυνὴ κατῄσχυνεν ἐν δόμοισι νηπία ⋮ Εὐριπίδου. Οὐ πάντες οὔτε δυστυχοῦσιν ἐν γάμοις οὔτ' εὐτυχοῦσι· συμφορὰ δ' ὃς ἂν τύχῃ κακῆς γυναικός, εὐτυχεῖ δ' ἐσθλῆς τυχών.

13 51o Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ ληΐζετ' ἄμεινον τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο, δειπνολόχου· ἥτ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα εὕει ἄτερ δαλοῦ καὶ ἐν ὠμῷ γήραϊ θῆκε ⋮ Ἡσιόδου. Οὐκ ἔστιν οὔτε τεῖχος, οὔτε χρήματα, οὔδ' ἄλλο δυσφύλακτον οὐδὲν ὡς γυνή ⋮ Ἀλέξιδος.

13 51q Οὐ πάνυ εἴωθ' ἀληθὲς οὐδὲ ἓν λέγειν γυνή ⋮ Μενάνδρου. Οὐχ οὕτω τοῖς ὀρφανοῖς παισὶν ὡς τοῖς ἀνοήτοις ἀνδράσιν ἐπιτρόπους χρὴ παρεῖναι ⋮ Πλουτάρχου.

13 51s Οὐ γὰρ τὸ μὴ λαβεῖν τἀγαθὰ οὕτω χαλεπόν, ὡς τὸ λαβόντα στερηθῆναι ⋮ Ξενοφῶντος. Οὐθεὶς ἐ π ' αὐτοῦ τὰ κακὰ συνορᾷ, Πάμφιλε, σαφῶς· ἑτέρου δ' ἀσχημονοῦντος ὄψεται ⋮ Μενάνδρου.

13 51u Οὐ πρότερον ἀληθινοὺς φίλους κτήσῃ, πρὶν ἂν τοὺς φαύλους ἀποδιώξῃς ⋮ Ἰσοκράτους. Οὔτε ἵππος εὐγενὴς κρίνοιτ' ἂν πολυτελῆ σκευὴν ἔχων, ἀλλ' ὁ τῇ φύσει λαμπρός· οὔτε ἀνὴρ σπουδαῖος ὁ πολύτιμον οὐσίαν κεκτημένος, ἀλλ' ὁ τὴν ψυχὴν γενναῖος ⋮ Πλουτάρχου.

13 51w Οὐκ ἐκ τῶν λόγων τὰ πράγματα, ἀλλ' ἐκ τῶν πραγμάτων τοὺς λόγους δεῖ κρατεῖν· οὐ γὰρ ἕνεκεν τῶν λόγων τὰ πράγματα συντελεῖται, ἀλλ' ἐκ τῶν πραγμάτων οἱ λόγοι ⋮ Σωκράτους. Οὔτε ὕδωρ θολερὸν οὔτε ἀπαίδευτον ψυχὴν ταράσσειν δεῖ ⋮ Πλουτάρχου.

13 61a Οὐ δ ' Αἴσωπον πεπάτηκας : ἐπὶ τῶν μὴ πολυπραγμονούντων καὶ ἀμαθῶν. Οὐ θεομαχήσ ω , σῶν λόγων πεισθεὶς ὕπο ⋮ Εὐριπίδου.

13 61c Οὐ δύναμαι τὴν αἶγα φέρειν κἀπιτίθετε μοι βοῦν. Οὐ μέλει τῇ χελώνῃ μυῶν : ὁμοία τῇ· Ἐλέφας μῦν οὐ δάκνε ι .

13 63a Οὐ τὰ χρήματα φίλον, ἀλλ' ὁ φίλος χρήματα· καὶ χρήματα μὲν φιλίαν οὐδέποτε ἂν ἐργάσαιτο, ὥσπερ οὐδὲ γῆ θεόν, φιλία δὲ χρήματα ῥᾳδίως ἂν κτήσαιτο, καθάπερ καὶ θεὸς γῆν ⋮ Μοσχίωνος. Οὐ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι· ἐνορῶ γὰρ ἐν παίδων κτήσει πολλοὺς μὲν καὶ μεγάλους κινδύνους, πολλὰς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα, καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα ⋮ Δημοκρίτου.

13 63c Οὐθὲν σιωπῆς ἐστι χρησιμώτερον ⋮ Μενάνδρου. Οὔτε ἀῤῥώστου πληγὴν οὔτε ἀνοήτου ἀπειλὴν δεῖ εὐλαβεῖσθαι.

13 67a Οὐκ ἀεὶ ποταμὸς ἀξίνας φέρει : ἐπὶ τῶν οὐκ ἀεὶ τὰ αὐτὰ δωρουμένων. Γεωργὸν γάρ φασι παρὰ ποταμὸν βαδίζοντα ἀποβαλεῖν ἀξίνην· κατοικτείροντα δὲ τὸν ποταμὸν ἀνεῖναι αὐτῷ ἀργυρᾶν. τοῦ δὲ φήσαντος οὐκ εἶναι ταύτην αὐτοῦ, ἀνεῖναι αὖθις χρυσῆν. ἀρνησαμένου δὲ καὶ ταύτην, τὸν ποταμὸν τὴν ἰδίαν αὐτῷ ἀναδοῦναι καὶ τὰς ἄλλας δωρήσασθαι ἀγασθέντα αὐτὸν τῆς δικαιοσύνης. ἕτερον δὲ γεωργὸν βουλόμενον τῶν αὐτῶν τυχεῖν, ἑκόντα καταβαλεῖν τὴν ἀξίνην ἐν τῷ αὐτῷ ποταμῷ· τὸν δὲ ποταμὸν τὴν ἰδίαν αὐτῷ ἀναπέμψαι· τὸν δὲ πρότερον γεωργὸν παρατυχόντα εἰπεῖν πρὸς αὐτὸν τὸ προκείμενον. Οὐ δ ' ὅσον κνήσασθαι τὸ οὖς σχολὴν ἄγει : ἐπὶ τῶν πράγμασι πολλοῖς συμπεπλεγμένων.

13 68b

Οὐ γὰρ παρὰ κρατῆρα καὶ θοίνην μόνον τὰ χρήματ’ ἀνθρώποισιν ἡδονὰς ἔχει, ἀλλ’ ἐν κακοῖσι δύναμιν οὐ μικρὰν φέρει ⋮ Πολυΐδου. Οὔτε τὸν ἄῤῥωστον ἡ χρυσῆ ὠφελεῖ κλίνη οὔτε τὸν ἀνόητον ἡ ἐπίσημος εὐτυχία ⋮ Λυκούργου.

13 68d Οὐ τὸ πλουτεῖν καλόν, ἀλλὰ τὸ ἐκ καλῶν πλουτεῖν ⋮ Ἀπολωλύκου. Οὐ τὸ πένεσθαι κατὰ φύσιν αἰσχρόν, ἀλλὰ τὸ δὲ αἰσχρὰν αἰτίαν πένεσθαι ὄνειδος.

13 68f Οὐκ ἀντιλέγοντα δεῖ τὸν ἀντιλέγοντα παύειν, ἀλλὰ διδάσκειν· οὐδὲ γὰρ τὸν μαινόμενον ἀντιμαινόμενός τις ἰᾶται ⋮ Αἰσχίνου. Οὐδὲν ἡ εὐγένεια πρὸς τὰ χρήματα· τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει ⋮ Εὐριπίδου.

13 72b Οὔτε σῖτον ἄριστον ἐκ τοῦ καλλίστου πεδίου κρίνομεν, ἀλλὰ τὸν εὔθετον πρὸς τὴν τροφήν· οὔτε ἄνδρα σπουδαῖον ἢ φίλον εὔνουν, τὸν ἐξ ἐπιφανοῦς ὄντα γένους, ἀλλὰ τὸν ὑπάρχοντα τῷ τρόπῳ κρείττονα ⋮ Δημοσθένους. Οὐδὲν γὰρ ἄλγος οἷον ἡ πολλὴ ζωή· πάντ’ ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά, νοῦς φροῦδος, ἔργ’ ἀχρεῖα, φροντίδες κεναί.

13 77a Οὐ δύναμαί σο ι , θυμέ, παρέχειν ἄρμενα πάντα. τέτλαθι· τῶν δὲ καλῶν οὐ σὺ μοῦνος ἐρᾷς. Οὐκ ἔσ τ ’ ἀ π ’ ἔργων μὴ καλῶν ἔπη καλά.

13 78a Ὀφθαλμιῶν ἄνθρωπος ἰσχυρῶς, κακά πάμπολλα πάσχων, ἓν ἀγαθὸν πάσχει μόνον, ὅταν οὐχ ὁρᾷ γυναῖκα τοῦτον τὸν χρόνον ⋮ Ἀντιφάνους. Ὁ φθόνο ς , ὥσπερ φαῦλος δημαγωγός, ταῖς καλαῖς ἀντιπολιτεύεται πράξεσι ⋮ Ἀριστωνύμου.

13 79a Ὄφιν τρέφειν καὶ πονηρὸν εὐεργετεῖν ταὐτὸν ἐστίν· οὐδετέρου γὰρ ἡ χάρις εὔνοιαν γεννᾷ ⋮ Πλουτάρχου. Ὀφθαλμὸς φιλίας πρόξενος καὶ τὸ σύνηθες τῆς κοινωνίας εἰς χάριν αἰδεσιμώτερον ⋮ Λευκίππου.

13 79c Ὀφθαλμοὶ ἀλλήλων ἀντανακλώμενοι ἀπομάττουσιν ὡς ἐν κατόπτρῳ τῶν σωμάτων εἴδωλα. Ὁ χρήσι μ ’ εἰδὼς οὐχ ὁ πόλλ’ εἰδὼς σοφός.

13 82b Ὀχληρὸν ὁ χρόνος ὁ πολύς· τὸ γῆρας βαρύ, ὡς οὐδὲν ἀγαθὸν, δυσχερῆ δὲ πόλλ’ ἔχεις τοῖς ζῶσι καὶ λυπηρά· πάντες εἰς σὲ δέ ἐλθεῖν ὅμως εὐχόμεθα καὶ σπουδάζομεν. Ὄψα τ ε , οἷα ἔδουσι διοτρεφέες βασιλῆες.

13 86a Πάντα τὸν βοῦν ἔφαγε κεἰς τὴν οὐρὰν ἀπέκαμεν : ἐπὶ τῶν τελεσάντων τὸ πλεῖον μέρος τινὸς ἔργου, τοῦ λοιποῦ δὲ καὶ βραχέος ὀλιγωρούντων. Πάμπαν δ ’ ἄμωμος οὔτις οὐδ’ ἀκήριος.

13 86c Πάν τ ’ ἀνακαλύπτων ὁ χρόνος πρὸς φῶς φέρει. Πάντας ὑφέλκεις οἷα μαγνῆτις λίθος.

13 86e Παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον. Πᾶς δ ’ ὑπὸ κόλπου χεῖρας ἔχων, πόθεν αὔξεται ἀθρεῖ ἄργυρον· οὐδέ κεν ἰὸν ἀποτρέψας τινὶ δοίη· ἀλλ’ εὐθὺς μυθεῖται, ἀπωτέρω ἢ γόνυ κνήμης.

13 87a Παρεξηυλημένος τὸν νοῦν : οἷον ἀμυδρὸν βλέπων· ἢ ὑπὸ γήρως διεφθορότα ἔχων τὸν νοῦν. Πάντων μὲν κόρος ἐστὶ καὶ ὕπνου καὶ φιλότητος μολπῆς τε γλυκερῆς καὶ ἀμύμονος ὀρχηθμοῖο.

13 93a Παντὸς καλοῦ κτήματος πόνος προηγεῖται ὁ κατ’ ἐνέργειαν ⋮ Πυθαγόρου. Πάν τ ’ ἔστιν ἐξευρεῖ ν , ἐὰν μὴ τὸν πόνον φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.

13 93b ἐκ τοῦ φιλοπονεῖν γίνεθ’ ὧν θέλεις κρατεῖν ⋮ Φιλήμονος. Παρθενικὴν δὲ γαμεῖν, ὥς κ’ ἤθεα κεδνὰ διδάξῃς· πάντα μάλ’ ἀμφὶς ἰδὼν, μὴ γείτοσι χάρματα γήμῃς ⋮ Ἡσιόδου.

13 93d Πᾶν τὸ τιμώμενον αὔξεται, ἐλαττοῦται δὲ τὸ ἀτιμαζόμενον· καὶ τοῦτό ἐστι διαφανέστατον σημεῖον ἀρχῆς εὖ διοικουμένης. Προτρέπει τε γὰρ τοὺς ἀρχομένους ἐπὶ τὰ καλὰ ἐπιτηδεύματα καὶ τὴν ἐπιβάλλουσαν ἑκάστοις ἀξίαν διανέμει καὶ πληροῖ τὰς πόλεις τῶν ἀρίστων ἐπιτηδευμάτων ⋮ Ἰαμβλίχου ἡ γνώμη. Πᾶσι γὰρ ἐμπίπτει μεταμέλεια τοῖς μέλλουσι τελευτᾶν μεμνημένοις ὧν ἠδικήκασι, καὶ ὁρμὴ τοῦ βούλεσθαι πάντα πεπράχθαι δικαίως αὐτοῖς ⋮ Ζαλεύκου ἡ γνώμη. [5]

13 99b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Πᾶσα ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς πανουργία, ἀλλ’ οὐ σοφία φαίνεται ⋮ Πλάτωνος. Παπα ῖ , νέος καὶ σκαιός, οἷος ἔστ’ ἀνήρ ⋮ Εὐριπίδου.

13 99d Παρὰ χελώνης ὄστρακον : ἐπὶ τοῦ μὴ μεταδιδόντος, ὡς οὐδὲ ἡ χελώνη μεταδοίη ἂν τοῦ ὀστράκου. Παντὸς φυτοῦ ἡ πρώτη βλάστη καλῶς ὁρμηθεῖσα πρὸς ἀρετὴν τῆς αὑτοῦ φύσεως κυριωτάτη τέλος ἐπιθεῖναι τὸ πρόσφορον, τῶν τε ἄλλων φυτῶν καὶ τῶν ζῴων ἡμέρων καὶ ἀγρίων καὶ ἀνθρώπων.

13 99e ἄνθρωπος δέ, ὥς φαμεν, ἥμερον, ὅμως μὴν παιδείας μὲν ὀρθῆς τυχὸν καὶ φύσεως εὐτυχοῦς θειότατον. ἡμερώτατόν τε ζῷον γίνεσθαι φιλεῖ, μὴ ἱκανῶς δὲ ἢ μὴ καλῶς τραφὲν ἀγριώτατον ὁπόσα φύει γῆ ⋮ Πλάτωνος ἡ γνώμη ἐν ς ω νόμων. Πατρὸς ἐπιτίμησις ἡδὺ φάρμακον· ἔχει γὰρ πλέον τὸ ὠφελοῦν τοῦ δάκνοντος ⋮ Σωκράτους. [5]

13 100a Παλαιὸς αἶνος · ἔργα μὲν νεωτέρων, βουλαὶ δ’ ἔχουσι τῶν γεραιτέρων κράτος: Εὐριπίδου. Πᾶσα πρακτικὴ ἀρετὴ ἐν τῷ γίνεσθαι οὐκ τῷ γεγονέναι τὸ εἶναι ἔχει ⋮ Διδύμου.

13 100c Πάθος γὰρ ἅπαν τὸ μὲν ὀξέως γιγνωσκόμενον, εὐβοήθητον· τὸ δὲ χρόνῳ παραπεμπόμενον, ἐγγὺς ἀνίατον ⋮ Ἡλιοδώρου. Πᾶσί τοι κίνδυνος ἐπ’ ἔργμασιν, οὐδέ τις οἶδε ποῖ σχήσειν μέλλει πρήγματος ἀρχομένου.

13 100d ἀλλ’ ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν. τῷ δὲ καλὸν ποιοῦντι θεὸς καλὰ πάντα τίθησι, συντυχίην δ’ ἀγαθῶν, ἔκδυσιν ἀφροσύνης ⋮ Θεόγνιδος. Πᾶσα γῆ πατρί ς . [5]

14 13a Παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται. οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀμείνους. Παύροις δ ’ ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ· ὄλβιος ὃς τούτων ἀμφοτέρων ἔλαχε.

14 13c Πάντες θεῶν χατέους’ ἄνθρωποι. Πεζῇ βαδίζω · νεῖν γὰρ οὐκ ἐπίσταμαι : ἐπὶ τῶν μετερχομένων τὰ μικρὰ, πειρᾶν δ’ οὐκ ἐχόντων ἐν τοῖς μεγάλοις.

14 16b Πέπτωκεν ἔξω τῶν κακῶν, οὐ Χῖος, ἀλλὰ Κῖος. Περὶ ὄνου σκιᾶς : περὶ τῶν ἐνδιατριβόντων τοῖς μηδενὸς ἀξίοις.

14 30a Πῖ θ ’ ἑλλέβορον : ἐπὶ τῶν ἑλλεβόρου δεομένων ὥστε ἰαθῆναι μανιωδῶν ὄντων. Λουκιανὸς ἐν τῷ Μενίππου διαλόγῳ· ληρεῖ ς , ὦ Τάνταλ ε , καὶ ὡς ἀληθῶς ποτοῦ δεῖσθαι δοκεῖ ς , ἀκράτου γε ἐλλεβόρου νὴ Δί α . Πίστει χρήμα τ ’ ὤλεσα, ἀπιστίᾳ δ’ ἐσάωσα ⋮ Θεόγνιδος.

14 40a Πολλῶν ὁ λιμὸς γίνεται διδάσκαλος. Πολλὰς φιλίας ἀπροσηγορία διέλυσε.

14 59b Πολλὰ μοχθήσαντες ὁμοίως ἐσμέν : ἐπὶ τῶν μηδὲν ἐκ σπουδῆς ὠφεληθέντων καὶ διὰ παιδείαν οὐδὲν πλέον τῶν ἄλλων προτιμωμένων. Πολλοί τοι χρῶνται δειλαῖς φρεσί, δαίμονι δ’ ἐσθλῷ, οἷς τὸ κακὸν δοκέον γίνεται εἰς ἀγαθόν ⋮ Θεόγνιδος.

14 68b Πολλοὶ θριοβόλο ι , παῦροι δέ τε μάντιες ἄνδρες. Πρὸς στάθμῃ πέτρον τίθεσθαι , μή τι πρὸς πέτρῳ στάθμην : ὅτι δεῖ ἕκαστον ἑαυτὸν ἐπιδιορθοῦν, πρὸς τοὺς νόμους καὶ τοὺς κανόνας ἀποβλέποντα παραινεῖ.

14 89a Πρὸς οὓς κοινολογεῖτα ι . Πρὸς Κρῆτα κρητίζει : ἀντὶ τοῦ πρὸς ψεύστην ψεύδεσι χρῆται.

15 8a Πτωχοῦ βέλτιόν ἐστι κατὰ πτόλιν ἠὲ κατ’ ἀργοὺς δαῖτα πτωχεύειν. Ῥᾴδια πάντα θεῷ τελέσαι καὶ ἀνήνυτον οὐδέν ⋮ Λίνου.

15 19a Ῥᾷστον δ ’ οἶμα ι , τοῦτο κατὰ τὴν παροιμίαν, μόνον θέοντα κρατεῖν. ὅμοιον τῷ, Ἐρήμην νικᾶ ν , καὶ, Ἀκονιτὶ κρατεῖ ν , καὶ τῇ, Μόνος θέων ἐκράτε ι . Ῥεῖα θεός κ’ ἐθέλων καὶ τηλόθεν ἄνδρα σαώσαι.

15 24a

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν, ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι. Ῥοιαὶ δ ’ ἄλλο τ ’ ἄλλαι εὐθυμιᾶν τε μετὰ καὶ πόνων ἐς ἄνδρας ⋮ Πίνδαρος.

15 30a Ῥευστὸν τὸν κόσμον ὡς ἀραχνώδη νόει. Ῥεῖται γὰρ καὶ παρέχεται ὡς χόρτος πᾶσα φύσις.

15 30c Ῥήτωρ πονηρὸς τοὺς νόμους λυμαίνεται· ἁγνὸς δὲ ῥήτωρ εὔκρατος ἁρμονία. Σηκοῖς ἐνστρέφῃ Τροφωνίου.

15 53a Σκύτους ἕνεκα δέρεται κύων , κεῖνος δὲ σκυτοτραγεῖ : ἐπὶ τῶν γευσαμένων κακίας τινὸς καὶ οὕτω μὴ ἀποπαυομένων ἐκείνης. Σοφοὶ δὲ τριταῖον ἄνεμον ἔμαθον ⋮ Σοφοκλέους.

15 59b Σοφόν γε τι πρὸς τὸ βουλεύειν ἐστί τὸ γῆρας, ὡς δὲ πόλλ’ ἰδόν τε καὶ μαθόν. Σὺ δ ’ οὖν ἐὰν μὴ ἐπαινῇς ἐς τὰς λιθοτομίας τὰς Διονυσίου εὐθὺς ἀφίξῃ ⋮ Λουκιανοῦ.

15 70a Σῦκα φί λ ’ ὀρνίθεσσι φυτεύειν οὐκ ἐθέλουσιν. Σῦκον με τ ’ ἰχθύν, ὄσπρεον μετὰ κρέα.

15 70c Σὺ μὲν οἶ δ ’ ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος ζητεῖς μεταλαβεῖν. Σὺν μυρίοισι τὰ καλὰ γίγνεται πόνοις ⋮ Εὐριπίδου Ἀρχελάῳ.

15 81a Σὺν τοῖς δεινοῖς αὔξεται κλέος βροτοῖς ⋮ Εὐριπίδου. Σὺ τὴν εὐγένειαν ἐν τοῖς ἀστραγάλοις ἔχεις : τοῦτ’ εἶπεν Ἡρώδης πρὸς Βραδούαν τὸν ἀδελφὸν τῆς Ῥηγίλλης γυναικὸς αὐτῷ οὔσης, ὅτε ἐκρίνετο περὶ φόνου· σύμβολον γὰρ εὐγενείας ἔφερεν ἐπηρτημένον τῷ ὑποδήματι ἐπισφύριον ἐλεφάντινον μηνοειδές.

15 81c Σὺ δ ’ ὦ κάκιστε πάντων θεῶν τε κἀνθρώπων ἢ μὴ δίδασκε τὰ κακὰ φαίνεσθαι καλά, ἢ τοῖς ἐρῶσιν εὐμενὴς παρίστασο ⋮ Εὐριπίδου. Συγχαίρειν χρὴ τοῖς φίλοις καλῶς πράττουσιν, ὡς καὶ συναλγεῖν λυπουμένοις ⋮ Λιβανίου.

15 81e Σύρ α , Σύρ α . Τί ἐστί; Πῶς ἡμῖν ἔχεις; ἐπὰν γέροντ’ ἴδῃς ἢ γραῦν τινά; ἴσθι δ’ εὐθὺς ὅτι κακῶς ⋮ Φιλήμονος. Συμφέρει δάκνεσθαι διὰ τῶν ῥημάτων ἀλγηδόνος τοὺς ἁμαρτάνοντας, ἵνα τῆς διὰ τῶν πραγμάτων ἀσχημοσύνης ἀπαλλαγῶσι.

15 81g Σύφαρ θανεῖτα ι , πόντιον φυγὼν σκέπας. Στρύχνον ἔπινεν : ἀντὶ τοῦ μανιώδης ἐγένετο· ἔστι δὲ βοτάνη, ἧς οἱ γευσάμενοι εἰς μανίαν τρέπονται.

15 81i Στρεπτὴ δὲ γλῶσ ς ’ ἐστὶ βροτῶν· πολέες δ’ ἔνι μῦθοι παντοῖοι. Συβαριτικὴ τράπεζα : ἐπὶ τῶν ἄγαν τρυφηλῶν· Ἀριστοφάνης· ἤδη δ’ ἔξεσται τόθ’ ἡμῖν πλεῖν, μένειν, κινεῖν, καθεύδειν, ἐς πανηγύρεις θεωρεῖν, ἑστιᾶσθαι, κοτταβίζειν, συβαρίζειν· ἀντὶ τοῦ, πολυτελεῖ διαίτῃ χρῆσθαι καὶ τρυφᾶν ὡς οἱ Συβαρῖται. [5]

15 84a Σφραγίζε τοὺς μὲν λόγους σιγῇ, τὴν δὲ σιγὴν καιρῷ ⋮ Σόλωνος. Σφηκιὰν ἠρέθικας : ἐπὶ τῶν ἑαυτοῖς κακὰ κινούντων.

15 85a Σφόδρα τί ἐστιν ὁ βίος ἡμῶν οἴνῳ προσφερής· ὅταν ᾖ τὸ λοιπὸν μικρὸν ὀξὺς γίνεται ⋮ Ἀντιφάνους. Σφῆξ βομβῶν τέττιγος ἐναντίον : ἐπὶ τῶν ἐριζόντων τοῖς κρείττοσι τάττεται.

15 85c Σχῆμα καὶ τριόβολον : ἐπὶ τῶν διὰ μικρὸν κέρδος σεμνότητα ὑποκρινομένων. Σωρὸς κακῶν ἀνεφάνη : ἐπὶ τῶν δυσπραγούντων.

15 87b Σώφρονος δ ’ ἀπιστίας οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς ⋮ Εὐριπίδου. Σωφρονέστατον οἶμαι τοῦ μετὰ τὸ παθεῖν ἐγκαλεῖν τὸ πρὶν παθεῖν φυλάξασθαι τὸ μὴ παθεῖν ⋮ Γαΐου ἡ ὑποθήκη.

15 87d Σώφρονος γυναικὸς ἀρετὴ τὸν συνόντα μὴ ἀδικεῖν ἄνδρα ⋮ Ἐπιχάρμου. Σῶμά μοι δότε καὶ μετεμβήσομαι : μέχρι Πολέμωνος τὰ Πολέμωνος.

15 87e τοῦτ’ εἶπεν ὁ Τιμοκράτης πρὸς τοὺς οἰκείους, ὀλοφυρομένους αὐτὸν ἀποθνήσκοντα· λαμβάνεται δ’ ἐπὶ τῶν ἀδύνατα ζητούντων. Τά δ ’ οὐχ ὑ π ’ ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλισκόμεσθα.

15 88b Τὰ δ ’ ἄλλα συγχεῖ πάνθ’ ὁ παγκρατὴς χρόνος. φθίνει μὲν ἰσχὺς γῆς, φθίνει δὲ σώματος, θνήσκει δὲ πίστις, βλαστάνει δ’ ἀπιστία, καὶ πνεῦμα ταὐτὸν οὔποτ’ οὐκ ἐν ἀνδράσι φίλοις βέβηκεν οὔτε πρὸς πόλιν πόλει. τοῖς μὲν γὰρ ἤδη, τοῖς δ’ ἐν ὑστέρῳ χρόνῳ τὰ τερπνὰ πικρὰ γίνεται καὖθις φίλα ⋮ Σοφοκλέους Οἰδίποδος ἐπὶ Κολωνῷ. Τὰ Κινύρου τάλαντα : ἐπὶ τῶν τὸ ἴσον καὶ τὸ δίκαιον φυλαττόντων.

15 95a Τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον, καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ. οὐδ’ ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει, ὃ περιέτρεψεν ἢ χρόνος τις ἢ φθόνος, ἐπὰν ἐπ’ ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ· ἡ δὲ μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα, τὸ μήτε λίαν ἐν ταπεινῷ τῆς ψυχῆς μέρει φέρεσθαι, μήτ’ ἐν ὑψηλῷ πάλιν εἶναι. κἂν γὰρ πέσῃ τις ἐξ ἐλάττονος μέτρου, εὐπερικάλυπτον ἔσχε τὴν δυσπραξίαν. ὄγκου δὲ μεγάλου πτῶμα γίγνεται μέγα. πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται, σφάλλει δ’ ἐκείνους, οὓς ἂν ὑψώσῃ τύχη ⋮ Ἀπολλοδώρου. Τὰ σῦκα σῦκ α , τὴν σκάφην σκάφην λέγε ι .

15 95c Τὰ ὑπὲρ ἡμᾶς οὐδὲν πρὸς ἡμᾶς : ἀντὶ τοῦ μὴ ζήτει τὰ ὑπὲρ δύναμιν. Τὰς μηχανὰς μετὰ τὸν πόλεμον κομίζει : ἐπὶ τῶν προθυμουμένων βοηθεῖν ὅτε οὐ χρεία.

15 95e Τὰς δὲ τῶν κακῶν συνουσίας φεῦγε ἀμεταστρεπτί ⋮ Πλάτων. Ταῦτα γὰρ ἁ γραία με κοτυτταρὶς ἐξεδίδαξε.

15 96a Τὰ ἐπίπονα τῶν ἡδέων μᾶλλον ἡγοῦ συντελεῖν εἰς ἀρετήν ⋮ Ἐξ ἀποφθέγματος. Τὰς συμφορὰς γὰρ ὅστις οὐκ ἐπίσταται, θνητὸς πεφυκώς, ὃν τρόπον χρεὼν φέρειν· οὐδ’ ἀνδρὸς δύναιτ’ ἀνθυποστῆναι βέλος ⋮ Εὐριπίδου.

16 2a Τὰν παροῦσαν ἄμελγ ε . τί τὸν φεύγοντα διώκεις; Τὰ μὲν κα θ ’ ἡμᾶς οὕτω γέγονεν, ὡς ἔδοξε τῷ θεῷ· χρὴ δὲ μὴ γιγνομένων χαλεπὸν ἡγεῖσθαι, μηδὲ δυσχερῶς φέρειν, ὥσπερ ἐν δεινοῖς οὖσι.

16 9a παραινοῦσι δὲ ἄλλοι τε σοφοὶ καὶ οὐχ ἥκιστα Ὅμηρος, μηδαμῇ ἀπόβλητα εἶναι ἀνθρώποις θεῶν δῶρα, καλῶς ὀνομάζων δῶρα, τὰ ἔργα τῶν θεῶν, ὡς ἅπαντα ἀγαθὰ ὄντα καὶ ἐπ’ ἀγαθῷ γινόμενα ⋮ Δίωνος. Ταράσσει τοὺς ἀνθρώπους οὐ τὰ πράγματα, ἀλλὰ τὰ περὶ τῶν πραγμάτων δόγματα.

16 9b θάνατος, οὐ φοβερόν· ἐπεὶ καὶ Σωκράτει ἂν ἦν· ἀλλὰ τὸ δόξαι τὸν θάνατον εἶναι φοβερόν. ὅταν οὖν ἐμποδιζώμεθα μηδέποτε ἄλλον αἰτιώμεθα, ἀλλ’ ἑαυτούς· τοῦτο δέ ἐστι τὰ φαῦλα δόγματα ⋮ Ἐπικτήτου. Τὰ τῆς τύχης φέρειν δεῖ ἠπίως τὸν εὐμενῆ· τὸ μὲν ἀτυχῆσαι παντὸς εἶναι μοι δοκεῖ· ἀνδρὸς δ’ ἐνεγκεῖν ἀτυχίαν ὀρθοῦ τρόπου ⋮ Ἀντιφάνους.

16 10b Τὰ προσπεσόντα προσδοκᾶν ἅπαντα δεῖ ἄνθρωπον ὄντα· παραμένει γὰρ οὐδὲ ἕν ⋮ Μενάνδρου. Τὰ δυσχερῆ γὰρ καὶ τὰ λυπήσαντά σε ὁρᾷς ἐν αὐτῷ, τἀγαθὰ δ’ οὐκέτι βλέπεις.

16 10c εὕροις δ’ ἂν οὐδὲν τῶν ἁπάντων, Σιμύλε, ἀγαθὸν, ὅπου τι μὴ πρόσεστι καὶ κακόν ⋮ Μενάνδρου. Τὰ μὲν ξύλα τὸ πῦρ αὔξοντα ὑπ’ αὐτοῦ τοῦ πυρὸς καταναλίσκεται· ὁ δὲ πλοῦτος τρέφων τοὺς κόλακας ὑπ’ αὐτῶν τούτων διαφθείρεται ⋮ Πλουτάρχου.

16 10e Τὰ μέγιστα τῶν κακῶν οἱ πένητες ἐκπεφεύγασιν, ἐπιβουλήν, φθόνον καὶ μῖσος, οἷς οἱ πλούσιοι καθ’ ἡμέραν συνοικοῦσιν ⋮ Δημοκρίτου. Ταῖς νόσοις ὁ θάνατος ἀλλήλαις ἐπιλαβανούσαις οὐδ’ αὐτὸς παρεῖναι ἀναβάλλεται ⋮ Μοσχίωνος.

16 10g Τὰ γὰρ ἡδέ α , κἂν μήπω παρῇ, τέρπει ταῖς ἐλπίσι ⋮ Λευκίππου. Ταῦτα δ ’ ὅτι μὲν φρονάσιος χωρὶς οὐκ ἂν γένοιτο, δᾶλον.

16 15a ὅτι δ’ ἁ τῶ κόσμω φρόνασις ὁ θεός ἐντι, φανερόν· συνέχεται γὰρ εὐκοσμίᾳ τε καὶ τάξει τᾷ δεούσᾳ· νόω δὲ χωρὶς οὐκ ἂν αὐτὰ γενοίατο. οὐδ’ ὁ βασιλεὺς δὴ χωρὶς φρονάσιος ταύτας ἂν ἔχοι τὰς ἀρετάς· δικαιοσύναν φαμὶ καὶ ἐγκράτειαν καὶ κοινωνίαν, καὶ ὅσα τούτων ἀδελφά ⋮

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐκ τῶν Ἐκφάντου τοῦ Πυθαγορίου ὑποθηκῶν. Ταῦτά σοι καὶ Πύθια καὶ Δήλια : ἐπὶ τῶν τελευταῖα ποιούντων. [5]

16 19a Ταῦτα Κυμαίοις , ἐμοὶ δὲ ὄνος εἴη : ἐπὶ τῶν μετὰ δέους ἀνάξια δεδιότων· φασὶ γὰρ τοὺς Κυμαίους ὡς θηρίον δεδιέναι τὸν ὄνον· ὀνηλάτην οὖν φυγόντα ὄνον καὶ σκιρτῶντα παίειν καὶ λέγειν τὸ προκείμενον. Ταὐτόν ἐστιν ἀῤῥωστοῦντι φορτίον ἀναθέσθαι καὶ ἀπαιδεύτοις εὐτυχίας ⋮ Ἐκ τῶν Ἰσοκράτους ἀποφθεγμάτων.

16 19c Τὰ χρήμα τ ' ἀνθρώποισιν εὑρίσκει φίλους. Ταὐτόν ἐστιν ἐν γυμνικῷ ἀγῶνι ἡττηθέντα ὕβρεως δίκην τῷ ἀνταγωνιστῇ λαχεῖν καὶ ἐν τῷ ζῆν νικώμενον ὑπὸ τῆς τύχης ἐγκαλεῖν αὐτῇ, ἐφ' οἷς δικαίοις εἰς τὸν ἀγῶνα τοῦ ζῆν συγκαταβεβήκαμεν ⋮ Σωκράτους.

16 21b Ταῖς ἀτυχίαις μὴ ἐπίχαιρε τῶν πέλας· πρὸς τὴν τύχην γὰρ ζυγομαχεῖν οὐ ῥᾴδιον ⋮ Μενάνδρου. Τέκνα μάθε τίκτει ν , οὐ τὰ γηροβοσκήσαντα τὸ σῶμα, τὴν δὲ ψυχὴν θρέψοντα τῇ ἀϊδίῳ τροφῇ ⋮ Πυθαγόρου.

16 27b Τέκνον μὴ σύ γε μητρὸς ἀπ' ἀνθερεῶνας ἀμήσῃς, ἠελίους ἥτις σε τριηκοσίους ἐφόρησα, τέκνον, ὑπὸ ζώνῃ, φοβερὰς δ' ὠδῖνας ἀνέτλην, εἰς φάος ἐρχομένου· λαρὸν δ' ἐπὶ χείλεσι πρώτη μαστὸν ἐπισχομένη λευκῷ δέ ς' ἔλοισα γάλακτι ⋮ Εὐφορίωνος. Τέττορες αἰτίαι τὰ σύμπαντα περαίνοντι, καὶ ἐπὶ τέλος ἐπιτίθεντι φύσις καὶ νόμος καὶ τέχνα καὶ τύχα· καὶ τῶν μὲν ἐξ ἄθεος ποτὶ συμφωνίαν πολιτικῶν φερόντων νόμος ἐπιστάτης καὶ δημιουργός· τῶν δὲ διὰ φρονήσιος ἀνθρωπίνας τελεθόντων τέχνα λέγοιτο δικαίως μάτηρ δὲ καὶ ἡγεμὼν ἦμεν· τῶν δὲ εἰκᾷ τε καὶ ὡς ἔτυχεν ἀπὸ τοῦ αὐτομάτου ὁμοίως μεταπιπτόντων τοῖς χρηστοῖς τε καὶ πονηροῖς τύχαν τῶν τοιούτων αἰτίαν φάσκομες. [5]

16 34a ταύταν δ' οὔτ' ἐν μέτρῳ οὔτ' ἐν ὅρῳ τεταγμέναν καὶ πεφρονηκυῖαν ἕκαστα ποιεῦν ⋮ Ἀρχύτου τοῦ Ταραντινοῦ ἡ γνώμη. Τέττιγας ἐσθίεις : ἐπὶ τῶν διὰ λιχνείαν καὶ τὰ οὐδενὸς ἄξια ἐσθιόντων.

16 39a Τελευτησάντων τῶν φίλων θρηνεῖν μὲν οὐκ εὐγενές, προνοεῖν δὲ τῶν οἰκείων, ἐπιμελές ⋮ Κλειτάρχου. Τετρὰς καὶ νουμηνία : ἐπὶ τῶν φύσει ἀργῶν.

16 44a Τῆς ὀξυθυμίας τὸ ἄνθος μανία ⋮ Ἀπολλωνίου Μακεδόνος τὸ ἀπόφθεγμα. Τὴν αὐτὴν γνώμην ἔχειν δικάζοντας ἄξιον, ἥνπερ νομοθετοῦντας ⋮ Λυσίου ἡ ὑποθήκη.

16 44c Τήμερον οὐδεμίαν γραμμὴν ἤγαγον : ἐπὶ τῶν ἀμελούντων τῆς σπουδῆς καὶ τῆς ἑαυτῶν τέχνης· τοῦτο Ἀπελλῆς ὁ ζωγράφος εἴρηκεν. Τῆς ῥινὸς ἕλκῃ : Λουκιανός· οὐδὲν κωλύσει τῆς ῥινὸς ἕλκεσθαι ὑπὸ πάντων.

16 44e Τῇ δὲ νῦν τύχῃ βροτοῖς ἅπασι λαμπρὰ κηρύσσει μαθεῖν, τὸν εὐτυχεῖν δοκοῦντα μὴ ζηλοῦν, πρὶν ἂν θανόντ' ἴδῃ τις, ὡς ἐφήμεροι τύχαι ⋮ Εὐριπίδου Ἡρακλειδῶν. Τῆς δὲ ταλαίνης νύμφης, ὡς Μεγαρέων, οὐ λόγος οὐδ' ἀριθμός ⋮ Καλλιμάχου.

16 44g Τὴν παῤῥησίαν τὴν σὴν οἴει τεττάρων εἶναι ὀβολῶν τὸ λεγόμενον. Τῆς τύχης σκοπεῖν δεῖ τὸ μέγιστον ὡς ἔλαττον, καὶ τὸ μὴ παρὸν μὴ θέλειν· οὐδὲ γὰρ σὸν ἐστίν.

16 44h ἀμφότερα μένειν οὐκ οἶδε· ἑστήκει γὰρ οὐδέν· ἐὰν πλούσιος ὢν καθ' ἡμέραν σκοπῇς τὸ πλεῖον, εἰς τοσοῦτον εἶ πενιχρός, εἰς ὅσον εἶ περισσός. ὡς πένης θέλεις σχεῖν καὶ πλούσιος πλέον ἔχειν, ἶσον ἔχουσιν αὐτῶν αἱ ψυχαὶ τὸ μεριμνᾶν ⋮ Σωτάδου ἡ ὑποθήκη. Τῆς μὲν κακῆς κάκιον οὐδὲν γίνεται γυναικός· ἐσθλῆς δ' οὐδὲν εἰς ὑπερβολὴν πέφυκ' ἄμεινον· διαφέρουσι δ' αἱ φύσεις ⋮ Εὐριπίδου. [5]

16 46a Τῆς αὐτῆς κεραμίας : ἐπὶ τοῦ ὁμοίου καὶ παραπλησίου. Τὴν αὑτοῦ σκιὰν δέδοικεν : ἐπὶ τῶν σφόδρα δειλῶν.

16 49b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τὴν ἀμίδα σανδάλῳ ἐπιφράττεις : ἐπὶ τῶν μικροῖς μεγάλα ἐπιχειρούντων. Τὴν ἀπὸ Σκυθῶν ῥῆσιν : ἐπὶ τῶν ὠμῶς καὶ περιφανῶς ἀποκρινομένων· τοιοῦτος γὰρ ἦν ὁ Ἀνάχαρσις, Σκύθης ὤν.

16 56a Τῇ δ ’ Ἀφροδίτῃ πόλλ’ ἔνεστι ποικίλα· τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς. τύχοιμι δ’ αὐτῆς, ἡνίκ’ ἐστὶν εὐμενής ⋮ Εὐριπίδου. Τίς ἂν φίλοισι μάχοιτο; Τί μ ’ ὠφελήσου ς ’ οἱ ῥυθμοὶ πρὸς τἄλφιτα : ἐπὶ τῶν μανθανόντων τι οὐκ αὐτοῖς χρειῶδες.

16 60a Τί κοινὸν κυνὶ καὶ βαλανείῳ : ἐπὶ τῶν ἔν τισι χρείαις ἀνωφελῶν. Τί τὸν φεύγοντα διώκει ς ; Τί μύζει ς ; πάντα πεποίηται καλῶς ⋮ Ἀριστοφάνους.

16 60d Τί τοὺς Ἀχαιοὺς ἀπὸ τοῦ πύργου κρίνετε; Τί μ ’ ἔδει μακροῖς αὐλοῖς αὐλεῖν : ἐπὶ τῶν πονησάντων καὶ μὴ ἀπολαβόντων μισθόν.

16 61a Τί δ ’ αἰσχρόν , ἂν μὴ τοῖσι χρωμένοις δοκῇ : τοῦτ’ Εὐριπίδου· οὗ ἐναντίον· Αἰσχρὸν τό γ ’ αἰσχρὸν κἂν δοκῇ κἂν μὴ δοκῇ · τοῦτο Διογένους. Τί τὸ στέρεσθαι πατρίδος; ἦ κακὸν μέγα ⋮ Εὐριπίδου ἡ γνώμη.

16 61c Τίς δὲ βίο ς , τί δὲ τερπνὸν ἄτερ χρυσῆς Ἀφροδίτης; τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι ⋮ Μιμνέρμου ἡ γνώμη. Τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται.

16 85b Τὸ δὲ χρυσίον ὀδοῦσι καὶ ὄνυξι καὶ πάσῃ μηχανῇ ἐφύλαττον ⋮ Λουκιανοῦ. Τὸ μὲν φάσθα ι , τὸ δὲ κεκρυμμένον εἶναι.

16 91a Τὸ γνῶθι σαυτὸν πανταχοῦ ’στὶ χρήσιμον. Τὸ μὲν πάρεργον ἔργον ὡς ποιούμεθα, τὸ δ’ ἔργον ὡς πάρεργον ἐκπονούμεθα ⋮ Ἀγάθωνος.

16 99b Τοῦτο δέ ἐστιν ὃ λέγουσιν, ὡς φίλος αὑτῷ πᾶς ἄνθρωπος φύσει τέ ἐστι καὶ ὀρθῶς ἔχει ⋮ Πλάτων ἐν τοῖς νόμοις. Τὸν περὶ ψυχῆς δρόμον τρέχει.

17 20a Τὸ τῆς παροιμίας ποιεῖς τῆς ἐν τῇ φάτνῃ κειμένης, ἣ οὔτε αὐτὴ τῶν κριθῶν ἐσθίει οὔτε τῷ ἵππῳ δυναμένῳ φαγεῖν ἐπιτρέπει. Τὸ γὰρ ἔαρ οὔτε μία χελιδὼν ποιεῖ οὔτε μία ἡμέρα ⋮ Ἀριστοτέλης Ἠθικῆς Τὸν ἐν ἀλλοτρίῳ χορῷ πόδα τιθέντα περίεργον ἡ παροιμία καὶ γελοῖον ἀποδείκνυσι ⋮ Πλουτάρχου.

17 20d Τὸ φῶς δ’ ἀνθρώποισιν ἥδιστον βλέπειν ⋮ Εὐριπίδης Ἰφιγενείᾳ ἐν Αὐλίδι. Τὸν γὰρ γυναικὸς ὅρκον εἰς οἶνον γράφε.

17 20f Τὸν καυλὸν οἶσ θ ’ ἐκεῖνον τοῦ σιλφίου τὸν ἄξιον λεγόμενον ⋮ Ἀριστοφάνης Ἱππεῦσι. Τὸν αὐτὸν αἰνεῖν καὶ ψέγειν ἀνδρὸς κακοῦ.

17 20h Τὸν ἕβδομον βοῦν ἡ σοφὴ παροιμία. Τράγον ἀμέλγειν : ἐπὶ τῶν ἀνάρμοστόν τι ποιούντων καὶ ἀνόητον.

17 32a ὅθεν καὶ Διογενιανός· πότερον ὁ τὸν τράγον ἀμέλγων ἢ ὁ τὸ κόσκινον ὑποτιθεὶς ἀφρονέστερος; Τῷ οἰκείῳ μέτρῳ παραμέτρει.

17 43a Τῷ δὲ Ἀγαμέμνονι τῆς Θερσίτου παῤῥησίας ἧττον ἔμελεν ἢ χελώνῃ μυιῶν τὸ τῆς παροιμίας. Τῷ γὰρ πονοῦντι καὶ θεὸς συλλαμβάνει: Εὐριπίδου ἡ γνώμη.

17 45a Τῶν δυστυχούντων οὐδὲ εἷς φίλος. Τῶν δυνατῶν τι κέλευ’· οὐ γὰρ παρὰ Κενταύροις.

17 46a Τῷ γὰρ ὄντι ἡ νεότης εἰς πᾶν ἐπίδοσιν ἔχει ⋮ Πλάτων. Τῶν δὲ σωμάτων θηλυνομένων καὶ αἱ ψυχαὶ ἐπὶ πολὺ ἀῤῥωστότεραι γίνονται ⋮ Ξενοφῶντος.

17 46c Τῶν γὰρ πλούτων ὅδ’ ἄριστος γενναῖον λέχος εὑρεῖν ⋮ Εὐριπίδου. Τῶν γὰρ καλῶν παράλειψις οὐχ ἧττον ἢ τῶν βλαβερῶν ἡ πρᾶξις ἀνιαρόν ἐστι καὶ ταραχῶδες ⋮ Πλουτάρχου ἡ γνώμη.

17 46e

Τῷ πονοῦντι δ’ ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος ⋮ Αἰσχύλου. Ὕβριν τε τίκτει πλοῦτος ἢ φειδὼ βίου: Εὐριπίδου.

17 47b Ὕβρις καὶ οἶνος ἀποκαλύπτειν εἰώθασι φίλοις τὰ ἤθη τῶν φίλων. Ὕβρις μικρῶν κρατοῦντα φυσᾶσθαι μέγα.

17 48a Ὑγιαίνειν μὲν ἄριστον ἀνδρί. Δεύτερον δὲ φυὰν καλὸν γενέσθαι. Τρίτον δὲ πλουτεῖν ἀδόλως ⋮ Σιμωνίδου αὗται αἱ παροιμιώδεις γνῶμαι. Ὑγίεντα δ ’ εἴ τις ὄλβον ἄρδει ἐξαρκῶν κτεάτεσσι καὶ εὐλογίαν προστιθεὶς μὴ ματεύσῃ θεὸς γενέσθαι.

17 48c Ὑγιέστερος κολοκύντης : παρόσον ἡ κολόκυντα ἐν πολλοῖς χρησιμεύει. Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ, δεύτερον δὲ φυὰν καλὸν γενέσθαι, τρίτον δὲ πλουτεῖν ἀδόλως, εἶτα τέταρτον ἡβᾶν μετὰ τῶν φίλων.

17 48e Ὑγίεια μὲν ἡγεῖτα ι , κάλλος δὲ δεύτερον, τὸ δὲ τρίτον ἰσχὺς, τέταρτον δὲ πλοῦτος οὐ τυφλός, ἀλλ’ ὀξὺ βλέπων. Ὑγίεια καὶ νοῦς ἐσθλὰ τῷ βίῳ δύο.

17 53a Υἱὸν τρέφει τι ς , κἂν πένης τις ὢν τύχῃ· θυγατέρα δ’ ἐκτίθησι κἂν ᾖ πλούσιος ⋮ Ἑρμαφροδίτου. Ὕλη ἐστὶ τὸ ὑποκείμενον γενέσει καὶ φθορᾷ καὶ ταῖς ἄλλαις μεταβολαῖς.

17 53b οἱ ἀπὸ Θάλεω καὶ Πυθαγόρου καὶ οἱ Στωϊκοὶ τρεπτὴν καὶ ἀλλοιωτὴν καὶ ῥευστὴν ὅλην δι’ ὅλων τὴν ὕλην. Οἱ δ’ ἀπὸ Δημοκρίτου ἀπαθῆ τὰ πρῶτα, τὴν ἄτομον καὶ τὸ κενὸν τὸ ἀσώματον. Ἀριστοτέλης καὶ Πλάτων τὴν ὕλην σωματοειδῆ ἄμορφον ἀνείδεον ἀσχημάτιστον ἄποιον, ὅσον ἐπὶ τῇ ἰδίᾳ φύσει, δόξαι κενὴν δὲ τῶν εἰδῶν, οἶον τιθηνὴν καὶ ἐκμαγεῖον καὶ μητέρα γενέσθαι. οἱ δὲ ὕδωρ λέγοντες ἢ πῦρ ἢ ἀέρα ἢ γῆν τὴν ὕλην, οὐκέτι ἄμορφον αὐτὴν λέγουσιν, ἀλλὰ σῶμα. οἱ δὲ τὰ ἀμερῆ καὶ τὰς ἀτόμους ἄμορφον. Ὑμεῖς οὔτε τρίτοι, οὔτε τέταρτοι: ἐπὶ τῶν οὐδενὸς λόγου ἀξίων. [10]

17 61a Ὑπερήφανόν που γίνεθ’ ἡ λίαν τρυφή. Ὑπόπτερος δ’ ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε, ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ ⋮ Εὐριπίδου.

17 61c Ὑπέκκαυμα γὰρ ἐπιθυμίας λόγος τρωτικός ⋮ Ἀρικλείας. Ὑ π ’ οὐδενὸς φιλεῖσθαι δοκήσῃ τις μηδένα φιλῶν ⋮ Ἰσοκράτους.

17 61e Ὑπὸ πολλῶν διαβάλλεσθαι κακῶν οὔτε ἀληθὲς οὔτε βλαβερόν· τὸ δὲ ὑφ’ ἑνὸς ἀγαθοῦ ψέγεσθαι καὶ ἀληθὲς καὶ λυσιτελές ⋮ Μοσχίωνος. Ὑπὸ γυναικὸς ἄρχεσθαι ὕβρις ἂν εἴη ἐσχάτη ⋮ Δημοκρίτου.

17 64a Ὑπὲρ τὸν Ἐπιμενίδην κεκοίμησαι. Ὑπηνέμια ὀνείρατα καὶ ἐπαίνων σκιαί : ἐπὶ τῶν μάτην ἐλπιζόντων.

17 66b Ὑπὲρ κάρα πτύει : ἐπὶ τῶν ἐπαιρομένων καὶ ὑπερηφανῶν. Ὑπὸ τοῦ δικαίου δ’ ἐστὶν ἡττᾶσθαι καλόν ⋮ Φιλωνίδου ἡ ὑποθήκη.

17 66d Ὑπέρῳ ὕδωρ πλήττε ι . Ὑ π ’ αἰδοῦς δ ’ οὐ λίαν ἀσπάζομαι : ἐπὶ τῶν ἄγαν σωφρόνων, τοῦτ’ ἔφησεν Εὐριπίδης ἐν τραγῳδίᾳ Ἐρεχθειδῶν, ᾧδέ πη λέγων· Ἀλλ’ ὦ τέκνον μοι δὸς χεῖρ’, ὡς θίγῃ πατήρ, καὶ χαῖρ’· ὑπ’ αἰδοῦς δ’ οὐ λίαν ἀσπάζομαι· γυναικόφρων γὰρ θυμὸς ἀνδρὸς οὐ σοφοῦ. [5]

17 76a Ὑψοῖ δὲ τὸ μέλαθρον ὑμήναον. ἀείρα τε τέκτονες ἄνδρες· ὑμήναον, γαμβρὸς ἔρχεται ἶσος Ἄρει ⋮ Σαπφοῦς. Φασὶ δὲ δυσβουλίαν τῇδε τῇ πόλει προσεῖναι.

17 80b Φέρει καὶ ὄρνις γάλα: ἐπὶ τῶν ἄγαν εὐδαιμόνων. Φεύγειν τὴν ἀδικίαν ὡς δέσποιναν ἀσεβεστάτην καὶ χαλεπωτάτην, ἱκετεύοντα τοὺς θεοὺς συναποτρέπειν αὐτήν ⋮ Ζαλεύκου.

17 81a Φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά. Φάτταν ἀντὶ περιστερᾶς, ἑταίραν ἀντὶ νύμφης.

17 81c

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Φεῦ φεῦ · παλαιὸς αἶνος ὡς καλῶς ἔχει, οὐκ ἂν γένοιτο χρηστὸς ἐκ κακοῦ πατρός ⋮ Εὐριπίδου. Φεῦ · ὅσῳ τὸ θῆλυ δυστυχέστερον γένος πέφυκεν ἀνδρῶν, ἔν τε τοῖσι γὰρ καλοῖς πολλῷ λέλειπται κἀπὶ τοῖς αἰσχροῖς πλέον ⋮ τοῦ αὐτοῦ Οἰνεῖ.

17 81e Φιλεῖ γὰρ τὸ δαιμόνιον πολλάκις ἀνθρώποις τὸ μέλλον νύκτωρ λαλεῖν, οὐχ ἵνα φυλάξωνται μὴ παθεῖν· οὐ γὰρ εἱμαρμένης δύνανται κρατεῖν, ἀλλ' ἵνα κουφότερον πάσχοντες φέρωσι ⋮ Λευκίππου. Φιλονεικίη πᾶσα ἀνόητος· τὸ γὰρ κατὰ τοῦ δυσμενοῦς βλαβερὸν θεωρεῦσα, τὸ ἴδιον συμφέρον οὐ βλέπει ⋮ Δημοκρίτου.

17 86a Φιλοχρηματίη τοῦ κτήσασθαι εὑρεῖν ἀρκέοντα οὖρον οὐκ οἶδεν ⋮ Εὐσεβίου. Φιλοχρηματίην ἐ φ ' ἡμέρῃ ἑκάστῃ ἐπιῤῥέων πλοῦτος οὐχ ἵστησιν, ὥσπερ οὐδὲ πυρκαϊὴν ὕλη ἐπιβαλλομένη· ἐπιγινόμενος δ' ἀεὶ ἐς τοῦ πλεῦνος τὴν ἐπιθυμίην ἐξάπτει μειζόνως.

17 86b νόος δὲ μοῦνος παραστὰς καὶ τοῦτο οἶδεν ἀκέσασθαι. Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός: Εὐριπίδου ἡ γνώμη.

17 86d Φιλέει γὰρ θεὸς τὰ ὑπερέχοντα πάντα κωλούειν: Ἡροδότου. Φιλάργυρος οὐδεὶς ἀγαθὸς οὔτε βασιλεὺς οὔτε ἐλεύθερος ⋮ Δημοκρίτου.

17 86f Φιλήδονον καὶ φιλοσώματον καὶ φιλοχρήματον καὶ φιλόθεον τὸν αὐτὸν οὐ δύναται εἶναι· ὁ γὰρ φιλήδονος πάντως καὶ φιλοσώματος· ὁ δὲ φιλοσώματος πάντως καὶ φιλοχρήματος· ὁ δὲ φιλοχρήματος ἐξ ἀνάγκης καὶ ἄδικος· ὁ δὲ ἄδικος εἰς μὲν θεὸν ἀνόσιος, εἰς δὲ ἀνθρώπους παράνομος ⋮ Πυθαγόρου. Φιλονεικότερος τῶν ἀλεκτρυόνων.

17 86h Φιλεῖ δ ' ἑκάστου πλεῖον οὐδεὶς οὐδένα. Φοίνικος παλαιότερος : μακρόβιον γὰρ τὸ ζῷον.

17 98a Φρονεῖ γὰρ ὡς γυνὴ μέγα ⋮ Εὐριπίδου. Φρονεῖν γὰρ οἱ ταχεῖς οὐκ ἀσφαλεῖς ⋮ Σοφοκλῆς Οἰδίποδι.

17 99a Φράζεο δὴ σπουδὴν ἐντυνάμενος μύθων δι' ἀκουῆς ἡμετέρων, ἀτραπὸν περὶ παντὸς ἀληθῆ, κῆρας ἀπωσάμενος πολυπήμονας, αἵ τε βεβήλων ὄχλον ἀνιστῶσαι, ἄτας περὶ πάντα πεδῶσι παντοίας ἰδέαις, μορφῶν ἀπατήματ' ἔχουσαι. τοὺς μὲν ἀπὸ ψυχῆς εἴργειν φυλακαῖς νόοιο. οὗτος γάρ σε καθαρμὸς ὄντως δικαίως ὁσιεύσει, εἴ κεν ἀληθείῃ μισέῃς ὀλοὸν γένος αὐτῶν, ἤδη μὲν πρώτιστα αἰσχρῶν δότειραν ἁπάντων, ἣν ἐπιθυμία ἡνιοχεῖ μάργοισι χαλινοῖς. Ἐκ μὲν τῆς προμαντικῆς πρόνοιαν ἔφασαν δεῖν ἐπιζητεῖν· ἐκ δὲ τῆς ἰατρικῆς τῆς τε προνοίας ἐπανόρθωσιν· ταῦτα γὰρ εἶναι πέρατα τῆς ἰατρικῆς ἐπιστήμης· ἐκ δὲ τῆς μουσικῆς αἴσθησιν ἀκριβῆ τε καὶ ἐπιστημονικήν· ἐκ δὲ τῶν μαθηματικῶν ὀνομαζομένων συλλογισμόν τε καὶ ἀπόδειξιν τῶν δι' αὐτῶν νοημάτων ⋮ Λίνου ὑποθήκη. Φύλασσε τρόπον καλοκἀγαθίαν ὅρκου πιστοτέραν ⋮ Σόλων.

18 4b Φύσει γὰρ ἐχθρὸν τὸ δοῦλον τοῖς δεσπόταις ⋮ Εὐριπίδου. Φύσει γυνὴ δυσήνιον καὶ πικρόν ⋮ Μενάνδρου.

18 4d Φύσει μὲν γὰρ δυσχαλίνωτον ὄρεξις· προσλαβοῦσα δὲ καὶ πλούτου χορηγίαν, ἀχαλίνωτον ⋮ Πλουτάρχου. Φύσις εὐγενὴς μετρίαν ἄσκησιν προσλαβοῦσα ῥᾳδίως ἔρχεται πρὸς τὴν τελείαν ἀνάληψιν τῆς ἀρετῆς ⋮ Ζήνωνος.

18 4f Φύσις ἀνθρώπων ἀσκοὶ πεφυσημένοι. Φύρουσιν αὖ θ ' οἱ θεοὶ πάλιν τε καὶ πρόσω : πρὸς τοὺς τὰ πάντα συγχέοντας.

18 6a Ἔστι φωνὴ ἀνὴρ πεπληγμένος. Χαλεπὸν τὸ εὖ γνῶναι ⋮ τὸ ἀπόφθεγμα Πιττακοῦ.

18 7b Χαλεπὸν ἄρχεσθαι ὑπὸ χείρονος ⋮ Δημοκρίτου ἡ γνώμη. Χαλεπὸν ὅταν τις ὧν πίνει πλέον λαλῇ, μηδὲν κατειδώς, ἀλλὰ προσποιούμενος ⋮ Μενάνδρου.

18 7d Χαλεπὸν τὸ ἑαυτὸν γνῶναι, ἀλλὰ μακάριον· ζῇ γὰρ κατὰ φύσιν ⋮ Θάλεω. Χαλεπαὶ δέ τ' ἀνάκτων εἰσὶν ὁμοκλαί.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

18 8a Χαρτοῖσι χαῖρε καὶ κακοῖσιν ἄσχαλλε μὴ λίην· γίνωσκε δ’ οἷος ῥυσμὸς ἀνθρώπους ἔχει ⋮ Ἀρχιλόχου. Χαίρει ταῖς κατάραις τὸ κύμινον : ἐπὶ τῶν μηδὲν ἀπὸ κατάρας βλαπτομένων.

18 8c Χαῖ ρ’ , εἰ τὸ χαίρειν ἐστί που κάτω χθονός ⋮ Ἀστυδάμαντος. Χαίρετε δαίμονε ς , οἳ Λεβάδειαν Βοιώτιον οὖθαρ ἀρούρης ⋮ Κρατίνου.

18 8e Χαίρειν χρὴ τοῖς ἐλέγχουσιν ἢ τοῖς κολακεύουσιν· οἱ μὲν γὰρ ἡμᾶς λυποῦντες διεγείρουσιν, οἱ δὲ χαριζόμενοι ἐκλύουσι καὶ ὑποσκελίζουσιν ⋮ Πλουτάρχου. Χαῖρε παλαιογόνων ἀνδρῶν θεατῶν ξύλλογε πανσόφων ⋮ Πλάτων ἐν Ξαντρίαις.

18 8g Χαίρω ς ’ ὁρῶν φθονοῦντα, τοῦτ’ εἰδὼς ὅτι ἓν δρᾷ μόνον ἴδιον ὧν ποιεῖ φθόνος· λυπεῖ γὰρ αὐτὸ τὸ κτῆμα τοὺς κεκτημένους ⋮ Καρκίνου. Χάους ἀρχαιότερο ς .

18 11a Χαλεπὸν τύχης τι πρᾶγμα, χαλεπόν· ἀλλὰ δεῖ αὐτὴν φέρειν κατὰ τρόπον ὥσπερ φορτίον ⋮ Ἀπολλοδώρου. Χαλεπὸν θυγάτηρ κτῆμα καὶ δυσδιάθετον ⋮ Μενάνδρου.

18 12a Χαβρίας εἶπ ε , φοβερώτερον ἐστι στρατόπεδον ἐλάφων ἡγουμένου λέοντος, ἢ λεόντων ἐλάφου. Χαῖρε δὶς ἡβήσας καὶ δὶς τάφου ἀντιβολήσας, Ἡσίοδ’, ἀνθρώποις μέτρον ἔχων σοφίης ⋮ Πίνδαρος εἰς Ἡσίοδον.

18 16a Χάριτας μὲν τὸ δίκαιον ὑπερβαινούσας οὐδ’ ὀνομαστέον ἐμοὶ δοκεῖν χάριτας· τὰς δὲ τῆς δικαιοσύνης φίλας οὐδεὶς ἂν, ὃς οὐκ ἀπὸ δρυός ἐστιν ἢ πέτρας ἑκὼν ἀρνησάμενος τύχοι ⋮ Σωπάτρου. Χαίροις νῦν φιλότητι· περιπλομένου δ’ ἐνιαυτοῦ τέξεις ἀγλαὰ τέκν’· ἐπεὶ οὐκ ἀποφώλιοι εὐναί ἀθανάτων.

18 19a Χειμὼν κα τ ’ οἴκους ἐστὶν ἀνδράσι γυνή. Χείλεα μέν τ ’ ἐδίη ν’ , ὑπερῴην δ ’ οὐκ ἐδίηνε : ἐπὶ τῶν σμικρὰ δῶρα διδόντων.

18 26a Χῖος παραστὰς οὐκ ἐᾷ Κῷον λέγειν : παρόσον οἱ Χῖοι λογιώτεροι τῶν Κῴων ἦσαν καὶ δυνατώτεροι. Χοροῦ μὲν ἀναρμοστία ποιεῖ γέλωτα, πολιτῶν δὲ ἀναρμοστία ποιεῖ δάκρυα.

18 31b Χορεῖός ἐστι ποῦς συγκείμενος ἐκ τριῶν βραχειῶν , οἷον δόλιος· χορεῖος δὲ ἐκλήθη, ὅτι ἐν χοροῖς τοιούτῳ μέτρῳ ἐχρῶντο. Χρὴ δὲ κα θ ’ αὑτὸν ἀεὶ παντὸς ὁρᾶν μέτρον.

18 34b Χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι ⋮ Ἡσιόδου. Χρὴ δ ’ οὔπο τ ’ εἰπεῖν ὄλβιον οὐδένα βροτῶν πρὶν ἂν θανόντος τὴν τελευταίαν ἴδῃς, ὅπως περάσας ἡμέραν ἥξει κάτω ⋮ Εὐριπίδου.

18 34d Χρὴ ψυχὴν λιπεῖν μηδ’ ἀνίζειν δακρύοις καὶ θρήνοις· τὸ δὲ χρεὼν ἀνδρὸς ἀγαθοῦ φέρειν ⋮ Σωκράτους. Χρηστότης τυγχάνουσα μὲν χάριτος ἔτι μᾶλλον αὔξεται· προπηλακισθεῖσα δὲ εἰς ὀργὴν ἐρεθίζεται ⋮ Λευκίππου.

18 34f Χρηΐζων παθέεσσιν ἀκέστορος, ἣν κακὰ κεύθῃς, οὔποτε σηπεδόνα φεύξεαι ἀργαλέην. Χρὴ πάντας τοὺς λόγους ἄνω καὶ κάτω μεταστρέφοντα ἐπισκοπεῖν ⋮ Πλάτωνος.

18 34h Χρὴ δ ’ ἐ π ’ ἀξίοις πονεῖν ψυχὴν προσβάλλοντ’ ἐν κύβοισι δαίμονος ⋮ Εὐριπίδου ἐν κροις. Χρὴ μὴ θαυμάζειν εἰ πεπεδημένοι τὴν γλῶττάν τινες καὶ βοῦν ἀφωνίας ἐπ’ αὐτὴν βεβλημένοι.

18 34k Χρὴ τὴν ἀρετὴν μὴ χωλεύειν καθ’ ἕτερον, ἀλλ’ ἔργῳ καὶ λόγῳ ὀρθὴν καὶ ἀπηρτισμένην κατ’ ἀμφότερα εἶναι. Χρυσ ὲ , κακῶν ἀρχηγὲ, βιοφθόρε, πάντα χαλέπτων, εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν· σοῦ γὰρ ἕκητι μάχαι τε, λεηλασίαι τε, φόνοι τε ἐχθρὰ δὲ τέκνα γονεῦσιν ἀδελειοί τε συναίμοις ⋮ Φωκυλλίδου.

18 41b Ὄνειδος χρυσο ῦ . χρυσὲ διῶκτα, τύραννε, πάντολμε, δολοπλόκε, πάντων κακῶν ἀκρόπολις, φρούριον ἀπωλείας, ἑλέπολις, ῥιψέπαλξις, σπαράκτρια τειχέων, πόλεων τειχοσείστρια, τινάκτρια δωμάτων, οἵοις κακοῖς τοὺς γηγενεῖς κρεωκοπεῖς καὶ τρύχεις. οὐδὲν ἀνθαμιλλᾶταί σοι πραγμάτων τῶν ἐν βίῳ, οὐδὲν ἀντιφαρίζει σοι πάντων τῶν ἐπιγείων. μαλθάσσεις τὸν ἀμάλακτον, τὸν μαλακὸν σκληρύνεις· γλῶσσαν ἀνοίγεις ἄφωνον, λάλον ἐπιστομίζεις· ποιεῖς βραδὺν τὸν δρομικόν, πτηνόπουν τὸν ἀργόπουν. πειῤῥάζεις μὲν καὶ θελγητρὸν ἐπάγεις τὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καρδίαν, καὶ γοητεύεις ἴυγξιν ἀφύκτοις τὰς αἰσθήσεις, ἀλλά σου τὸ καλλίχροον ὡς ἔχιδνα μαρμάσσει. θεσμοὺς καὶ νόμους συμπατεῖς καὶ τὴν αἰδῶ διώκεις. τυμβωρυχεῖς, τοιχωρυχεῖς, ἀπεμπωλεῖς, προδίδως. λῆρος τὸ κομψευόμενον, ὡς ἔοικε, καὶ μῦθος, ὡς ἄρα τὸν ἀδάμαντα μόνον αἷμα μαλθάσσει· τί γάρ σου δραστικώτερον καὶ λίθους ἁπαλεύειν; τί δὲ τὴν ὑπερίσχυον ἰσχύν σου διαφεύγει; Χρυσὸς μὲν οἶδε δοκιμάζεσθαι πυρί, ἡ δὲ πρὸς φίλους εὔνοια καιρῷ κρίνεται ⋮ Μενάνδρου. [20]

18 41d Χρόνος δὲ φευγέτω σε μηδὲ εἷς ἀργός ⋮ Δημώνακτος. Χρεία διδάσκει κἂν βραδύς τις, ᾖ σοφόν ⋮ Εὐριπίδου.

18 41f Χρόνος εὐμαρὴς θεός : ὅτι εὐκόλως πάντα μαλάττει καὶ πάντα δαπανᾷ. Χρόνος σοφώτατον ἁπάντων · εὑρίσκει γὰρ τὰ πάντα.

18 41h Χρὴ γὰρ ποιητὴν ἄνδρα πρὸς τὰ δράμματα ἃ δεῖ ποιεῖν, πρὸς ταῦτα τοὺς τρόπους ἔχειν ⋮ Ἀριστοφάνους. Χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μόνη ⋮ Σοφοκλέους.

18 41k Χρυσίῳ παρὰ βαρβάροις οἱ κακοῦργοι ἐδέδεντο. Ψεύδεσιν Ἄρης φίλος ⋮ Εὐριπίδου.

18 50a Ψεύδεσθαι ἀνελεύθερο ν , ἀλήθεια γενναῖον. Ψιττακὸς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων θεοῦ τι μέρος ἔλεγεν ἔχειν.

18 53b Ψίθυρον καὶ διάβολον ἄνδρα μὴ προσδέχου· οὐ γὰρ ἕνεκεν εὐνοίας τοῦτο ποιεῖ· ὡς γὰρ τὰ τῶν ἄλλων ἀποῤῥήματα ἀπεκάλυψε σοί, ὡσαύτως καὶ τὰ ὑπό σου λεγόμενα ἑτέροις ἀναθήσεται. Ψυχὴ τελεωτάτη σκήνεος μοχθηρίαν ὀρθοῖ· σκήνεος δὲ ἰσχὺς ἄνευ λογισμοῦ ψυχὴν οὐδέν τι ἀμείνω τίθησιν ⋮ Δημοκρίτου.

18 54b Ψυχῆς μέγας χαλινός ἐστιν ὁ νοῦς ⋮ Βίαντος. Ψυχῇ ζῶντας ἡμᾶ ς , τῇ ταύτης ἀρετῇ ῥητέον εὖ ζῆν.

18 54c ὡς ὀφθαλμοῖς ὁρῶντας τῇ τούτων ἀρετῇ καλῶς ὁρᾷν ⋮ Βίαντος. Ψυχῆς γὰρ οὐδέν ἐστι τιμιώτερον ⋮ Εὐριπίδου.

18 55a Ψυχῆς γὰρ ἀγαθῆς πατρὶς ὁ ξύμπας κόσμος ⋮ Ἐξ ἀποφθέγματος. Ψωλὸν γενέσθαι δεῖ σε μέχρι μυῤῥίνου.

18 56b Ὦ ἄν α , Λητοῦς υἱὲ, Διὸς τέκος, οὔποτε σεῖο λήσομαι ἀρχόμενος οὐδ’ ἀποπαυόμενος, ἀλλ’ αἰεὶ πρῶτόν τε καὶ ὕστατον ἔν τε μέσοισιν ἀείσω· σὺ δέ μευ κλῦθι καὶ ἐσθλὰ δίδου ⋮ Θεόγνιδος. Ὦ βασιλεῦ καὶ τόδε ἐς θυμὸν βάλλε, ὡς τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων κακοὶ δοῦλοι φιλέουσι γίγνεσθαι, τοῖσι δὲ κακοῖσι χρηστοί ⋮ Ἡροδότου.

18 56d Ὦ γάμοι , γάμοι : ἐπὶ τῶν δυστυχούντων. Ὦ γῆρα ς , οἵαν ἐλπίδ’ ἡδονῆς ἔχεις καὶ πᾶς τις εἴς σε βούλετ’ ἀνθρώπων μολεῖν· λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμβάνει ⋮ Εὐριπίδου.

18 56f Ὦ γῆρας ὡς ἅπασιν ἀνθρώποισιν εἶ ποθεινόν, ὡς εὐδαῖμον· εἶθ’ ὅταν παρῇς ἀχθηρὸν ὡς μοχθηρόν· εὖ λέγει τέ σε οὐδείς· κακῶς πᾶς τις, ὃς σοφὸς λέγει ⋮ Ἀντιφάνους. Ὦ γῆρας ὡς ἅπασι τοῖς ζητοῦσί σε ψέγειν ἀφορμὰς παραδίδως τοῦ πράγματος.

18 57a Ὦ δαιμόν ι ’ ἀνδρῶν μὴ μεγάλα λίαν λέγε. Ὦ δέσπο τ’ , οὐδεὶς οἶδεν ἄνθρωπος γεγὼς οὔτ’ εὐτυχοῦς ἀριθμὸν οὔτε δυστυχοῦς ⋮ Εὐριπίδου.

18 57c Ὦ ζαθέης γεγαῶτες ἐριχθόνιοι γενέθλης, ἔτλητ’ ἐλθέμεναι καὶ ἐμὴν ἐρεεινέμεν ὀμφήν, ὁππόθι δηωθῇ περικαλλέος ἕδρα σηκοῦ. κλῦτε δαφνηρεφέων μυχάτων ἄπο θέσκελον ὀμφήν. εὖτ’ ἂν ἄνω πνείοντες ὑπ’ ἠέριοι κελάδοντες τρίβωνται πατάγοισιν ἐναντία δηριόωντες, κρυμὸς δ’ αὖ περὶ κόσμον ἀπείρονα νήνεμος ἔσται, μηδὲ δὴ ἐξερύγησεν ἔχῃ κεκακωμένος αἰθήρ. αἰθαλόεις περὶ γαῖαν, ὅπῃ τύχεν, ἔκπεσε πυρσός· τὸν μὲν δὴ θῆρές τε κατ’ οὔρεα δειμαίνοντες φεύγουσι πυμάτοις ὑπὸ κεύθεσιν· οὐδὲ μένουσιν εἰσιδέειν ὄσσοισι καταιβάσιον Διὸς ἔγχος. τοῦ μὲν καὶ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

νηοὶ μακάρων, καὶ δένδρεα μακρά, ἠλιβάτων δ’ ὀρέων κορυφαί, νῆές τ’ ἐνὶ πόντῳ, δάμνονται ζωοπύροις ποτήμασιν ἐμπελάοντες· καὶ δ’ αὐτὴ πληγεῖσα Ποσειδαῶνος ἑταίρη, πολλάκις ἠχήεσς’ ἀναχάζεται Ἀμφιτρίτη. ὑμεῖς οὖν καὶ ἄτλητον ἐνὶ φρεσὶν ἄλγος ἔχοντες, τέτλατε Μοιράων ἀμετάτροπα δήνεα θυμῷ· ταῖσιν Οὐρανίδαο Διὸς κατένευσε κάρηνον, ὅττι κε δινήσωσι μένειν ἀσάλευτον ἀτράκτοις. αἴσια γὰρ ἦν δολιχοῖσι χρόνος περικαλλέα σηκὸν πυρσῶν αἰωρήσεσι διηπετέεσσι δαμῆναι ⋮ Χρησμὸς Ἀπόλλωνος. Ὦ Ζε ῦ , τί λέξω; πότερά ς’ ἀνθρώπους ὁρᾶν; ἢ δόξαν ἄλλως τήνδε κεκτῆσθαι μάτην, ψευδῆ, δοκοῦντας δαιμόνων εἶναι γένος, τύχην δὲ πάντα τἀν βροτοῖς ἐπισκοπεῖν.

18 57e Ὦ Ζεῦ πολυτίμη θ ’ οἷόν ἐστιν ἐλπὶς κακόν. Ὦ Ἡράκλεις , τί μαίνῃ : ἐπὶ τῶν θυμουμένων.

18 57g Ὦ Ἡράκλει ς , ἀπόλωλε ἀνδρὸς ἀρετά: Ἀρχίδαμος ὁ Ἀγησιλάου, ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθὲν ἐς Λακεδαίμονα ἀναβοήσας ἔφη τοῦτο. Τί δ’ ἂν φαίη, εἰ τὴν νῦν βολίδα ἑώρα; Ὦ θνητὰ πράγματ’, ὦ γυναικεῖαι φρένες, ὅσον νόσημα τὴν Κύπριν κεκτήμεθα ⋮ Εὐριπίδου.

18 58a Ὦι ἱκανὸν οὐδέ ν , τούτῳ γε αἰσχρὸν οὐδέν: Τιμόθεος ὁ Κόνωνος εἶπε τοῦτο πρὸς Ἀριστοφῶντα τὸν Ἀζηνιέα πάντων ἄριστα ἔχοντα λόγον, πλήν γε ἄσωτον ὄντα. Ὦ κρονικαῖς λήμαις λημῶντε τὰς φρένας ἄμφω.

18 58c Ὤικτει ρ ’ ἀκούσας · οἰκτρὰ γὰρ τὰ δυστυχῆ. Ὦ μεγίστη τῶν θεῶν νῦν οὖς’ ἀναίδεια εἰ θεὸν καλεῖν σε δεῖ· δεῖ δέ· τὸ κρατοῦν γὰρ νῦν νομίζεται θεός· ἐφ’ ὅσον βαδίζεις; ἐφ’ ὅσον ἥξειν μοι δοκεῖς ⋮ Μενάνδρου.

18 59b Ὦ μῶρ ε , θυμὸς ἐν κακοῖς οὐ ξύμφορος ⋮ Σοφοκλέους. Ὤμοσεν ἀλλὰ λέγουσιν ἀλαθέα, τοὺς ἐν ἔρωτι ὅρκους μὴ δύνειν οὔατ’ ἐς ἀθανάτων ⋮ Καλλιμάχου.

18 59d Ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν τῆς ἀθανασίας κρεῖττον οὐδὲν εὔχεται ⋮ Ποσειδίππου. Ὠνείδισάς μοι γῆρας ὡς κακὸν μέγα, ᾧ μὴ τυχόντι, θάνατός ἐσθ’ ἡ ζημία, οὗ πάντες ἐπιθυμοῦμεν· ἂν δ’ ἔλθῃ ποτέ, ἀνιώμεθ’· οὕτως ἐσμὲν ἀχάριστοι φύσει· τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ.

18 59f Ὧν ἕνεκα ζῆν ἐθέλεις, τούτων χάριν καὶ ἀποθανεῖν μὴ κατόκνει. Ὧν πρόχειρος ὁ πορισμὸς, τούτων ἡ κτῆσις εὐκαταφρόνητος.

18 59h Ὧν τοῦ σώματος ἀπαλλαγεὶς οὐ δεήσῃ, ἐκείνων καταφρόνει πάντων· καὶ ὧν ἀπαλλαγεὶς δεήσῃ, πρὸς ταῦτά σοι ἀσκουμένῳ τοὺς θεοὺς παρακάλει γενέσθαι σοι συλλήπτορας ⋮ Πυθαγόρου. Ὧν γάρ τις γλίχεται τυχεῖν, ἐκεῖνα καὶ δοξάζει· καὶ ταῦτα πᾶσι κατὰ νοῦν, ὅσα καὶ κατὰ γνώμην.

18 59i ἀλλ’ ἄρα δυσποτμότερον οὐδέν ἐστιν ἀνθρώπου ἔχοντος τοὺς ἐχθραίνοντας οἰκείους ταυτοστέγους. ἂν ἔνδον ἔχῃς τοὺς ἐχθρούς, ἂν ἐφεστίους τρέφῃς, οὐ ῥύσονται κινδύνων σε τὰ Βαβυλῶνος τείχη, οὐ πύργοι Σεμιράμιδος, οὐ πυραμίδων πάχος. ἂν τὴν προδότριαν ψυχὴν σύνοικον δυστυχήσῃς, ἂν συνοικοίης μετ’ αὐτῶν ἐν ἀῤῥαγεῖ φρουρίῳ, ἁλώσιμον τὸ φρούριον, ἀφύλακτος ἡ πόλις. Ὦ πα ῖ , σιώπ α , πόλλ’ ἔχει σιωπὴ καλά ⋮ Μενάνδρου ἡ παραίνεσις.

18 62b Ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν, Σπάρτης ἔνοικοι, δόλια βουλευτήρια, ψευδῶν ἄνακτες μηχανοῤῥάφοι κακῶν ἑλικτὰ κοὐδὲν ὑγιές. Ὦ πάλαι πο τ ’ ὄντες ἄλκιμοι μὲν ἐν χοροῖς, ἄλκιμοι δ’ ἐν μάχαισιν καὶ κατ’ αὐτὸ δὴ τοῦτο μόνον ἄνδρες μαχιμώτατοι, πρίν ποτ’ ἦν, πρὶν ταῦτα.

18 62c νῦν δ’ οἴχεταί γε κύκνου πολιώτεροι δή ⋮ Ἀριστοφάνους Σφιγξί. Ὦ παῖ Τισάνδρο υ , ἀπορχήσαό γε μὴν τὸν γάμον.

18 62e

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὦ πόλι ς , πόλι ς , ὡς εὐτυχὴς εἶ μᾶλλον ἢ καλῶς φρονεῖς ⋮ Εὐπόλιδος. Ὦ παῖ Κρέοντο ς , ὡς ἀληθὲς ἦν ἄρα, ἐσθλῶν ἀπ' ἀνδρῶν ἐσθλὰ γίγνεσθαι τέκνα· κακῶν δ' ὅμοια τῇ φύσει τῇ τοῦ πατρός.

18 62f ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους ⋮ Εὐριπίδου. Ὥρα σε θυμοῦ κρείσσονα γνώμην ἔχειν ⋮ Εὐριπίδου.

18 63b Ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι, μήτε τριηκόντων ἐτέων μάλα πόλλ' ἀπολείπων, μήτ' ἐπιθεὶς μάλα πολλά· γάμος δέ τοι ὥριος οὗτος, ἡ δὲ γυνὴ τέτορ' ἡβώῃ, πέμπτῳ δὲ γαμοῖτο ⋮ Ἡσιόδου. Ὦργος ἀρχηγὸς ναυπηγίας.

18 66a Ὥσπερ θνητὸν καὶ τὸ σῶμ' ἡμῶν, ἔφη οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν ἀθάνατον, ὅστις σωφρονεῖν ἐπίσταται. Ὡς ἀγαθόν ἐσ τ ' ἐπωνυμίας πολλὰς ἔχειν.

18 66c Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος ἠδὲ τοκήων. Ὡς οὐδὲν ἀτεχνῶς ἐστὶν ὑγιὲς οὐδενός, ἀλλ' εἰσὶ τοῦ κέρδους ἅπαντες ἥττονες.

18 66e Ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά. Ὡς ἡδὺ τῷ φύσαντι πείθεσθαι τέκνα ⋮ Εὐριπίδου.

18 66g Ὡς μέγα τὸ μικρόν ἐστιν ἐν καιρῷ δοθέν. Ὡς εὐτυχεῖν γε μᾶλλον ἢ καλῶς φρονεῖν.

18 66i Ὡς σὺν θεοῖσι τοὺς σοφοὺς κινεῖν δόρυ στρατηλάτας χρὴ, τῶν θεῶν δὲ μὴ βίᾳ ⋮ Εὐριπίδου. Ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ.

18 66l Ὥς μ ' ὄφε λ ' Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε τέτραφ' ἄριστος· τῷ κἀγαθὸς μὲν ἔπεφν', ἀγαθὸν δέ κεν ἐξενάριξε. νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι. Ὥς ἐστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.

18 66n Ὡς τὴν ἐν Ἄγρει ἀσπίδα καθελὼν σεμνύνεται. Ὡς χρὴ Μεγαρέας μήτ' ἐν γῇ μήτ' ἐν ἀγορῇ μήτ' ἐν θαλάττῃ μήτ' ἐν ἠπείρῳ μένειν ⋮ Ἀριστοφάνους Ἀχαρνέων.

18 66p Ὡς τοῖς κακῶς πράσσουσιν ἡδὺ καὶ βραχὺν χρόνον λαθέσθαι τῶν παρεστώτων κακῶν ⋮ Σοφοκλέους. Ὥσπερ γὰρ τὸ σῶμα στερηθὲν ψυχῆς πίπτει, οὕτω καὶ πόλις, μὴ ὄντων νόμων, οὐχ ἵσταται ⋮ Δημοσθένους.

18 66r Ὡς οὐδὲν ὑγιές φασι μητρυιὰς φρονεῖν νόθοισι παισίν, ὧν φυλάξομαι ψόγον. Ὡς τὰ κακὰ συνάγει τοὺς ἀνθρώπους, ὅταν ᾖ ταυτὸν βλαβερὸν ἀμφοῖν ⋮ Ἀριστοτέλης ἐν ῥητορικῇ.

18 66t Ὥστε ὁ λόγος ἡμῖν ὀρθός, ὡς οὐκ εἰσὶν οἱ παμπλούσιοι ἀγαθοί ⋮ Πλάτων Νόμοις. Ὡς ἡδὺ δούλοις δεσπότας χρηστοὺς λαβεῖν, καὶ δεσπόταισι δοῦλον εὐμενῆ δόμοις ⋮ Εὐριπίδου.

18 67a Ὡς μὴ βασκανθῶ δὲ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον. Ὥσπερ ὁ ἥλιος οὐ περιμένει λιτὰς καὶ γοητείας ἵνα ἀνατείλῃ, ἀλλ' εὐθὺς λάμπει καὶ πρὸς ἁπάντων ἀσπάζεται· οὕτω μηδὲ σὺ περίμενε κρότους καὶ ψόφους καὶ ἐπαίνους, ἵν' εὖ ποιήσῃς, ἀλλ' ἑκοντὴς εὐεργέτει, καὶ ἴσα τῷ ἡλίῳ φιληθήσῃ ⋮ Ἐπικτήτου.

18 67c Ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους ἐρημία ⋮ Μενάνδρου. Ὡς ἂν ἔνδοθεν τὸ δὴ λεγόμενον ἐξ ὀνύχων ἀγαπῶσα τὰ τέκνα ⋮ Πλουτάρχου.

18 67e Ὡς οὐδὲν ἐν τῷ παρόντι δεῖ προτιμᾶν βραχυλογίαν μᾶλλον ἢ μῆκος· οὐδεὶς γὰρ ἡμᾶς, τὸ λεγόμενον, ἐπείγων διώκει ⋮ Πλάτων ἐν Νόμοις. Ὥσπερ γὰρ ἀνθρώπῳ νοσοῦντι τὴν ψυχήν, γέμοντί γε πονηρῶν ἐπιθυμιῶν, κρεῖττον ἀπελθεῖν ἢ ζῆν τυραννουμένου τοῦ ἐν τῇ ψυχῇ βελτίονος ὑπὸ τοῦ φαυλοτέρου, οὕτω καὶ τῇ γῇ μᾶλλον ἂν ἐλυσιτέλει, κρυφῆναι συνεχέσιν ὄβροις ἢ πεπολίσθαι τε καὶ τρέφειν γένος ἀνθρώπων, ἐν ᾧ κακία τίμιον, ἀρετὴ δὲ ἄτιμον.

18 67g Ὥσπερ εἴ τις ἐς ὅλμον ὕδωρ ἐγχέας ὑπέρῳ σιδηρῷ πλήττοι ⋮ Λουκιανός. Ὡς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

18 71a Ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη, τὸ σῶμα δ’ ἐν γυναιξὶ θηλείαις πρέπον ⋮ Εὐριπίδου.

Eulogikon public reading copy · View original HTML at eulogikon.org